καὶ λυτικὸν, τὰ δὲ ιγ̄α πρὸς μεσημβρίαν ἐγκεκλιμένα, τὸ δὲ δ̄ σημεῖον, τὸ λιγύτερον τοῦ ἡλίου, καὶ λιὰ αὐτοῦ καὶ τοῦ πόλου τοῦ ὁρίζοντος γραφομένου μεγίστου κύκλου πάλιν τμῆμα τὸ δ̄ζ̄, τὸν δὲ ἀστέρα ὑποθώμεθα ἀνατέλλειν, ἢ δύνειν ὑπὸ τὸν αε̄β ὁρίζοντος, ὅταν μὲν ὦσι τοῦ δι᾽ μέσων ἢ, λιλονότι λατὰ τὸ ε̄ σημεῖον, ὅταν δὲ βορειότερος ἢ τοῦ δι᾽ μέσων, λατὰ τὸ η̄, ὅταν δὲ νοτιώτερος λατὰ τὸ θ̄. καὶ ἀγάγωμεν ὦσι τὸν μὲν δι᾽ μέσων ἀπὸ τῶν η̄ ⁊ θ̄ σημείων λαθέτους τὰς ηκ καὶ θλ, τοῦ β̄δ πάλιν ἐξόμενον, ἢ ἴσως ἀπέχοντος τοῦ ἡλίου πάντοτε πορισφέρειαν ὑπὸ γῆν ὁ αὐτὸς ἀστὴρ πρώτως ὀφθήσεται, ἢ ἀφανισθήσεται. πρὸς γὰρ τὸν οὕτω γραφόμενον μέγιστον κύκλον τῶν ἴσων ὑπὸ γῆν ἀποχῶν, ἀεὶ αὐτοὺς λαταλάμψεις τῶν αὐτῶν τοῦ ἡλίου γίνονται. ταύτης δὴ πρῶτον ὦσι τῶν ἄλλων αὐίσων ἀστέρων αὐίσου λατὰ τὸ ἀπόλυθον σωισαμένης, αὐαγκη, λαὶ τὰ ἄλλα πάντα τὰ αὐτὰ ὑπάρχειν, ⁊ τὰς τῶν ὀρθῶν γωνίαν τοῦ ζωδιακοῦ ὑποτεινούσας πορισφερείας, τουτέστι τὰς ὁμοίας τῇ ε̄δ̄ διαστάσεις διαφόρους εἶν, καὶ τῶν μὲν μειζόνων ἀστέρων, ἐλαττόνους διλονότι, τῶν δὲ ἐλαττόνων μείζους. ὁμοίως δὲ λαὶ ἢ μὲν β̄δ̄ ἢ αὐτὴ ἢ τοῦ αὐτοῦ ἀστέρος, ἢ δ᾽ ὑπὸ βε̄δ̄ γωνίαν ἡ ἐγκλίσεως τὸ δι᾽ μέσων, ἤτοι ὡς ἐπὶ τὰς τῶν δωδεκατημορίων διαφορὰς, ἢ ὡς ἐπὶ τὰς τῶν οἰκήσεων, αὖισος γίνεται πάλιν, καὶ ἢ ἡ ε̄δ̄ διαστάσεως πορισφέρεια διοίσει, καὶ μείζων μὲν ἔσται ἡ ἐγκειμένης γωνίας μειουμένης, ἐλαττὼν δ᾽ αὐξομένης. ὡσαύτως δ᾽ ἐὰν καὶ ὁπωσοῦν προσυπαρχῇ τῇ δ̄ πρώτῳ, τὸ καὶ τοῖς λλίσιμον εἶν τοῖς αὐτοῖς, ὁ δ᾽ ἀστὴρ μὴ ἢ ὑπὸ τοῦ δι᾽ μέσων, ἀλλ᾽ ἤτοι λατὰ τὸ η̄ βορειότερος, ἢ λατὰ τὸ θ̄ νοτιώτερος, οὐκέτι τοῖς δ̄ε̄ πορισφέρειαν ἀποστὰς φανήσεται ἢ λρυφθήσεται πρώτως. ἀλλ᾽ ὅταν μὲν βορειότερος ἢ τοῦ δι᾽ μέσων, τοῖς δ̄ῑ ἐλάσσονα οὖσαν, ὅταν δὲ νοτιώτερος, τοῖς δ̄ε̄λ μείζονα οὖσαν. ἀναγκαῖον δὴν ἄρα πρὸς τὸν τῶν λατὰ μέρος ἐπισκέψιν προλαβεῖν πρῶτον ἐφ᾽ ἑνάσου τῶν ε̄ πλανωμένων ἀστέρων, τὰς λαθόλου πολικότητας τῶν β̄δ̄ πορισφερειῶν, ἀπὸ τοῦ ἀρλτικοῦ τετηρημένων φάσεων. αὗται δ᾽ ἂν εἶεν ἀθεμιναὶ, καὶ πρῶτον μὲν, διά τε τὸ γὴν πρὸς ὥρας ταύτην λεπτὸν καὶ διαυγὲς τοῦ ἀέρος, καὶ τὸ σύμμετρον τοῦ τοῦ ζωδιακοῦ πρὸς τοὺς ὁρίζοντας ἐγκλίσεως. εὑρίσκομεν δὴ δι᾽ ἡ τοιαύτης τῶν αὐατολικῶν τηρήσεως ἐπισκέψεως, ὅτι πρὸς τὴν ἀρχὴν τοῦ λαρκίνου αὐατέλλει, ὡς ἐπίπαν ὁ μὲν τοῦ λεόντος ἀστὴρ ἀπέχων τοῦ ἀνειβοῦς ἡλίου μοίρας ῑδ̄, ὁ δὲ τοῦ ζυγὸς ἀπέχων ὁμοίως μοίρας ῑς̄ δ̄ν̄, ὁ δὲ τοῦ αἰγόκερω μοίρας ῑδ̄ς̄, ὁ δὲ ἡ ἀφροδίτης ἑωσφόρος ἀπέχων μοίρας ε̄ β̄ν̄, ὁ δὲ τοῦ ἑρμοῦ ἑωσφόρος ἀπέχων μοίρας ῑας̄. τούτων δ᾽ οὕτως ὑποκειμένων διαγεγράφθω ὁ ἡ προκειμένης λαταγραφῆς σχῆμα, μηδενὸς διοίσοντος ἐπί γε τῶν τηλικούτων πορισφερειῶν, ἐὰν ὡς ὦσι τῶν ὑπ᾽ αὐτὰς ὀλθειῶν, ἀδιαφόρων γε πρὸς ἀΐδιον οὐσῶν, γνῶσιν ὀλιγοπλείας ποιώμεθα τοὺς λόγους. καὶ ἔστω τὸ μὲν ε̄ σημεῖον ἡ λοινῆς τομῆς τοῦ δι᾽ μέσων καὶ τοῦ ὁρίζοντος, τὸ γὴ ταῖς προκειμέναις φαίσεσι λατὰ τὴν ἀρχὴν τοῦ λαρκίνου, αὐατέλλον μὲν ὦσι τῶν γ̄ ἑώων λεόντος τε καὶ ζυγοῦ καὶ αἰγόκερω, διλονότι ὦσι τῶν ἑωσφόρων ἀφροδίτης καὶ ἑρμοῦ. τὸ δὲ λλίμα ὑποκείσθω τὸ δι᾽ φοινίκης, ὅπου ἡ μεγίστη ἡμέρα, ὡρῶν ὄντων ἰσημερινῶν ῑδ̄ ⁊ δν̄α. ἐπὶ δὲ ἡ τοίνυν ἐκ μὴ ἡ προαποδεδειγμένης τῶν γωνιῶν πραγματείας, ὅταν ἡ ἀρχὴ τοῦ λαρκίνου αὐατέλλει λατὰ τὸ ὑποκείμενον λλίμα, τοῖς ὑπὸ βε̄δ̄ γωνίαν εὑρίσκομεν τοιούτων ε̄γ̄, οἷον αἱ β̄ ὀρθαὶ ε̄ξ̄, καὶ τὸν λόγον διαπερ τὰς ὀρθὰς γωνίας, τὸν τῶν λ̄δ̄ πρὸς τὰ ο̄ ἐγγίσα, τοιούτων δὲ καὶ τὰς ὑποτεινούσας ε̄κ̄. δι᾽ δὲ ἡ τοῦ πλάτους πραγματείας πρὸς τὰς ἀρχὰς τοῦ λαρκίνου ποιουμένων τὰς αὐατολὰς τῶν γ̄ ἀστέρων μόνων, τουτέστι πρὸς τὰ ἀπόγεια τοῦ ἐπικύκλου τοῖς παρόδοις ποιου-



μένων λαβ' ὅσων ἀπότε τὸ ἀπογείου διάστασιν, μὴ μείζονα λαμβάνεται τὴν ἐκκεντρότητα τοῦ ἐκκέντρου, εὑρίσκομεν μὲν ἀδιαφόρως πρὸς ἄμφω, τὸν μὲν τοῦ χρόνου καὶ τὸν τοῦ ζῴου, ἐπ' ἀμφοῖν γὰρ τὸν ἀπὸ μέσων, τὸν δὲ τοῦ ἀέρος βορειότερον τοῦ ἀπὸ μέσων ἐν μέρεσι μάλιστα ᾱ μοιρῶν, ἃ μὲν δὲ ἔστιν ἴσα ὑπὸ ἀποστήσονται τοῦ ἡλίου κατὰ τὸν ἀπὸ μέσων, ὅτε τοῦ χρόνου ☌ ὁ τοῦ ζῴου, ἃ δὲ δ κ, ὑπὸ ἀφεστήσεται ὁ ἡλίου, ὁ τοῦ ἀέρος, ἀπὸ τὸν βορειότερον ἐν τῇ κγ ἐξηκοστῶν οὔσῃ ιβ. ἐπεὶ ὁ λόγος ὃν ἔχει ἡ κγ πρὸς τὴν κε, ὁ τῶν ἡ δ πρὸς τὰ ο ε, τῶν αὐτῶν καὶ ἃ κε ἴσας ἐξηκοστῶν ἐνήνεγκα, ὑπόκειται δὲ καὶ ἃ δ κὼ τοῦ ἀέρος ἴσ ς' μοιρῶν, ὡς ☌ ὅλων τῶν δ ε σωμάτων μοιρῶν ἴσ μ'. ἔστι δὲ καὶ ὧν ☽ τοῦ ☿ χρόνος ἴσ μοιρῶν, ὧν δὲ τοῦ ♀ ζῴου ἴβ ς δ'. ὡς ἐπὶ πάλιν λόγος ὃν ἔχει ἡ ἐδ πρὸς τὴν δβ, ὁ τῶν ρκ πρὸς τὰ λη δ', ἔχομεν ☌ τῶν δβ περιφέρειαν τοῦ ἀπὸ τῶν πόλων τοῦ ὁρίζοντος γραφομένου μεγίστου κύκλου, ὧν μὲν τοῦ ☿ χρόνου ιᾱ μοιρῶν, ὧν δὲ τοῦ ♀ ζῴου ι, ὧν δὲ τοῦ τοῦ ἀέρος ιᾱ ς ἐνήνεγκα. ὡσαύτως δὲ ὧν ἀφροδίτης καὶ ἑρμοῦ, ἐπεὶ καὶ ὅταν διχῶς ἡ ἀρχὴ τοῦ καρκίνου, τῇ αὐτῇ τῇ προκειμένῃ γωνίᾳ καὶ ἐγκλισιν πρὸς τὸν ὁρίζοντα ποιεῖ, ὑπόκειται δὲ πρὸς ταῖς ἀνατολαῖς τὸ μέρος τοῦ ἀπὸ μέσων ἀνατέλλειν, ἐστὶν ἴσος ὁ μὲν ἀφροδίτης ἀστὴρ, ἀπέχων τοῦ ἀνειβοῦς ἡλίου μοίρας ἐ β', ὁ δὲ τοῦ ἑρμοῦ μοίρας ιᾱ ς'. ἐφέξει ἄρα ἐν ταῖς ἀνατολαῖς αὐτῶν, ὁ μὲν ἀνειβὼς ἡλίου ὧν μὲν τοῦ ♀ ἀφροδίτης, διδύμου μοίρας κδ ι', ὧν δὲ τοῦ ☿ ἑρμοῦ μοίρας ιθ ς'. ὁ δὲ μέσος ὧν μὲν τοῦ ♀ ἀφροδίτης μοίρας κε, ὧν δὲ τοῦ ☿ ἑρμοῦ μοιρ. ιθ ἔγγιστα. ταύτας ἄρα τὰς μοίρας, ἐπέχων ἡ κατὰ μῆκος μέση κίνησις τῶν ἀστέρων. ὅταν δ' οὕτως ἔχοντος τοῦ μήκους, αὐτοὶ ἐν ἀρχῇ τοῦ καρκίνου φαίνονται, ὁ μὲν τῆς ἀφροδίτης ἀπέχων εὑρίσκεται τοῦ ἀπογείου τοῦ ☿ ἐπικύκλου, περὶ τὰς ιδ μοίρας, ὁ δὲ τοῦ ἑρμοῦ, περὶ τὰς λβ. δείκνυται γὰρ τὸ κινοῦν διὰ τοῦ ☿ περὶ ♀ παρηλλαγμένων ἀστέρων. ἀκολούθως δ' ἐν τούτῳ τῷ παρόδῳ, ὁ μὲν ♀ ἀφροδίτης βορειότερος εὑρίσκεται τοῦ διὰ μέσων μοίρας ᾱ, ὁ δὲ τοῦ ἑρμοῦ μοίρας ᾱ καὶ β' ἔγγιστα, οἷον ὅτι δηλονότι καὶ ἃ κγ. ὡς ἐπὶ καὶ ὁ λόγος αὐτῆς ὁ πρὸς τὸν ἐκ ὅλου, ὃν ἔχει ἡ ιᾱ δ πρὸς τὰ ο ε, ὁ δ' αὐτὸς λόγος ὅτι καὶ τῆς μὲν ᾱ πρὸς τὸν ς δ, ♀ δὲ ᾱ β. πρὸς τὸν ᾱ ε' ἔγγιστα, ἔχομεν καὶ τὸν ἐκ ὧν μὲν ἀφροδίτης ς ὁ μέρους ᾱ μοίρας, ὧν δὲ ἑρμοῦ μοίρας ᾱ ε'. τῶν δ' αὐτῶν ὑπόκειται καὶ ἃ δκ, ὧν ἐφαίνετο ἑκάτερος ἀπέχων τοῦ ἡλίου, ὧν μὲν ἀφροδίτης μοίρας ε β, ὧν δὲ ἑρμοῦ μοίρας ιᾱ ς. ☌ ὅλων ἄρα τῶν δ κε ἔχομεν ὧν μὲν ἀφροδίτης μοίρων ε, καὶ β πεμπτων, ὧν δὲ ἑρμοῦ μοίρων ιβ ς ε' ἔγγιστα. ὥστε ἐπὶ πάλιν ☌ ὁ ♀ ἐδ πρὸς τὸν βδ λόγος ὅν ἐστιν, ὁ τῶν ρκ πρὸς τὰ λη δ, ὁ δ' αὐτὸς τούτῳ λόγος ὅν ☌ τῶν μὲν ε καὶ β πεμπτων πρὸς τὰ ε, τῶν δὲ ιβ ς ε πρὸς τὰ ι ἔγγιστα, ἔχομεν ☌ τῶν δβ ♀ καθόλου διαστάσεως πηλικότητα, ὧν μὲν ἀφροδίτης μοίρων ε, ὧν δὲ ἑρμοῦ μοίρων ι, ἅπερ προέκειτο εὑρεῖν.





ὅτι

ΟΤΙ ΣΥΜΦΩΝΕΙ ΤΑΙΣ ΥΠΟΘΕΣΕΣΙ ΚΑΙ ΤΑ ΙΔΙΑΖΟΝΤΑ ΠΡΟΣ ΤΑΣ ΦΑΣΕΙΣ ΑΦΡΟΔΙΤΗΣ ΚΑΙ ΕΡΜΟΥ.

Ὅτι δὲ καὶ ταῖς ἐκκειμέναις ὑποθέσεσιν ἀκόλουθα σωίσαται τὰ περὶ τὰς φάσεις καὶ λυγὰς, τό τε τῆς ἀφροδίτης καὶ τοῦ τοῦ ἑρμοῦ ξηνίζοντα, τουτέστι διότι τοῦ μὲν τῆς ἀφροδίτης ὁ ἀπὸ τῆς ἑωσφορίας πρὸς ἑσπερίαν ἀνατολὴν χρόνος, περὶ μὲν τὰς ἀρχὰς τῶν ἰχθύων ἡμ. πε μᾶλλόν πως ἡμερῶν γίνεται, περὶ δὲ τὰς ἀρχὰς τῆς παρθένου ις ἡμερῶν, τοῦ δὲ τοῦ ἑρμοῦ ἀστέρος, ἀεὶ μὲν ἑωσφόροι φάσεις ἐκλείπουσιν, ὅταν περὶ τὰς ἀρχὰς ὀφείλῃ φαίνεσθαι τοῦ σκορπίωνος, ἀεὶ δὲ ἑῷοι, ὅταν περὶ τὰς ἀρχὰς τοῦ ταύρου, καταλαμβάνωμεν οὕτως. ἐκκείσθω γὰρ ἡ ὁμοία τῇ προκειμένῃ τῶν φάσεων καταγραφῇ, καὶ ὑποκείσθω πρῶτον μὲν τὸ σημεῖον, τοῦ δι' ἀμέσου περὶ τὰς ἀρχὰς τῶν ἰχθύων ὁ πρὸς κατὰ τὸ περίγειον τοῦ ἐπικύκλου τυγχάνων ὁ τῆς ἀφροδίτης ἀστὴρ βορειότερος ὂν τοῦ διὰ μέσων μοιρῶν ε καὶ ιφ ἔγγιστα. τὸ δὲ σχῆμα τὸ τῆς ἑωσφορίας λύσεως, καθ' ἣν ἡ μὲν ὑπὸ βεδ γωνία ὑπὸ τοῦ ὑποκειμένου κλίματος σωίσταται τοιούτων ρνδ, οἵων εἰσὶν αἱ β ὀρθαὶ τξ, οἵων δὲ ἡ ὑποτείνουσα ρκ, τοιούτων ἡ μὲν μείζων τῶν περὶ τὴν ὀρθὴν ριζ, ἡ δὲ ἐλάττων κζ ἔγγιστα. διατοῦτο δὴ οἵων ὄντων ἡ βδ τῆς καθόλου διαστάσεως ε, τοιούτων καὶ ἡ δε γίνεται ε ἡ. ἀλλ' ἐπεὶ βορειότερός ὄντων ὁ ἀστὴρ τοῦ διὰ μέσων μοιρῶν ε καὶ ιφ, ὅσων ὄντων ἡ κη πορισφέρεια, ὁ δι' αὐτὸς ὄντι λόγος τῶν ριζ πρὸς τὰ κζ, καὶ τῶν ε ι πρὸς τὰ α ς ἔγγιστα, ἡ μὲν κε ἔσται μοιρῶν α ς, λοιπὴ δὲ ἡ κδ, ἐν ᾧ ἀφέξηται ὁ ἀστὴρ ἀπὸ τῆς ἑωσφορίας λύσεως ἐπὶ τὰ ἑπόμενα τοῦ ἡλίου, μοιρῶν γ λή. πάλιν ὡσαύτως ἐν τῇ ὁμοίᾳ καταγραφῇ, ἐπειδὴ κατὰ τὴν ἑῴαν ἀνατολήν, ἡ μὲν ὑπὸ βεδ γωνία γίνεται τοιούτων ξθ, οἵων εἰσὶν αἱ β ὀρθαὶ τξ, διατοῦτο δ' οἵων ἡ ὑποτείνουσα ρκ, τοιούτων ἡ μὲν ἐλάσσων τῶν περὶ τὴν ὀρθὴν ξη, ἡ δὲ μείζων λη ἔγγιστα, οἱ γὰρ αὐτοὶ λόγοι σωίστανται τῶν μὲν ξη πρὸς τὰ ρκ, καὶ τῶν ε πρὸς τὰ ηι μθ, τῶν δὲ ξη πρὸς τὰ λη θ, καὶ τῶν νς ι πρὸς τὰ θ ιέ, τὴν μὲν δε ἐξομεν τῶν αὐτῶν ηι μθ, τὴν δὲ κε τῆς παρὰ τὸ πλάτος διαφορᾶς θ ιέ, λοιπὴν δὲ τὴν δκ ὡς ἐπὶ τὰ ἑπόμενα διηνύτι τοῦ ἡλίου ἐξηκοστῶν κέ. ἀπεῖχε δὲ κατὰ τὴν ἑωσφορίαν λύσιν ὁμοίως ἐπὶ τὰ ἑπόμενα μοιρῶν γ λή, ἔλασσον ἄρα κεκίνηται φ' ἧς ἀπὸ τῆς ἑωσφορίας λύσεως ἐπὶ τὴν ἑῴαν ἀνατολὴν χρόνῳ, τῆς τοῦ ἡλίου κινήσεως, τουτέστι τῆς ἰδίας ἔγγιστα κατὰ μῆκος παρόδου, διὰ τὴν παρὰ τὸν ἐπίκυκλον προήγησιν μοιρῶν γ ιό. ἐπειδὴ οὖν ταῖς τοσαύταις μοιραῖς ἐν τῷ προηγουμένῳ μεταβιβάζεται ὁ ἀστὴρ, ὡς ἐκ τῆς τῶν ἀνωμαλίας κανόνος γίνεσθαι, ὅταν τὸ περίγειον τοῦ ἐπικύκλου κινηθῇ μοιρὰν α ς δ, τοῦτο δὴ διαπορεύεται μέσως ὁ ἀστὴρ φ' ἡμέρας ἔγγιστα β, φανερὸν ὅτι τοσοῦτος ἂν γένοιτο τῆς προκειμένης διαστάσεως ὁ χρόνος ἀκολούθως τοῖς φαινομένοις. πάλιν ὡς τῆς ὁμοίας καταγραφῆς, ὑποκείσθω τὸ μὲν ε σημεῖον περὶ τὰς ἀρχὰς τῆς παρθένου, ὅπου κατὰ τὸ περίγειον τοῦ ἐπικύκλου τυγχάνων ὁ τῆς ἀφροδίτης ἀστὴρ νοτιώτερος φαίνεται τοῦ διὰ μέσων, τοῖς ἴσας ἔγγιστα μοιραῖς ε καὶ ιφ, ἐν προκείσθω πρῶτον ἡ ἑωσφορία λύσις, ἔσται ἡ μὲν ὑπὸ βεδ γωνία, τοιούτων ἡ ξθ, οἵων εἰσὶν αἱ β ὀρθαὶ τξ, οἵων δ' ἡ ὑποτείνουσα ρκ, τοιούτων ἡ μὲν ἐλάσσων τῶν περὶ τὴν ὀρθὴν ξη, ἡ δὲ μείζων λη θ ἔγγιστα. ἐπειδὴ οὖν οἱ αὐτοὶ γίνονται λόγοι τοῖς περὶ τὴν ἑῴαν φασὶν τῶν ἰχθύων, καὶ τῆς κατὰ τὸ πλάτος διαστάσεως ἴσης οὔσης, ἕξομεν τῶν αὐτῶν τὴν μὲν εδ πορισφέρειαν ἡ μθ, τὴν δὲ λε τῆς παρὰ τὸ πλάτος διαφορᾶς θ ιέ, ὅλην δὲ τὴν δλ, ἐν ᾧ ἀφεστήκει ὁ ἀστὴρ εἰς τὰ ἑπόμενα τοῦ ἡλίου μοιρῶν ιη ὃ. διὰ δὲ





τοῦ ☉ ἀνωμαλίας κανόνος ὡς ἔφαμεν ταῖς τοσαύταις μοίραις ☾, παρὰ τὴν μέσην τοῦ ἡλίου καὶ τοῦ ἀστέρος κίνησιν, προηγήσεως, ἐπιβαλλουσιν ἀπὸ τοῦ περιγείου τοῦ ἐπικύκλου μοίρας ιζ ς' ἐγγισα. ὡσαύτως δ' ἐπεὶ ☾ τῇ ηγ ἑώαν ἀνατολὴν τῇ πρὸς τὰς ἀρχὰς ☾ παρθένου, ὅταν ἡ μὲν ὑπὸ ΒΕΔ γωνία, τοιούτων ἡ ΕΝΔ, οἵων εἰσὶν αἱ Β ὀρθαὶ τξ, οἵων δ' ἡ ὑποτείνουσα ΕΚ, τοιούτων ἡ μὲν μείζων τῶν πρὸς τὴν ὀρθὴν γωνίαν ρις, ἡ δὲ ἐλάσσων κζ. οἱ δὲ αὐτοὶ λόγοι σωάγονται πάλιν τοῖς ὑπὸ τῆς ἐκκεντρότητος ἐκτεθειμένοις. ἔξομεν τῶν αὐτῶν, τὴν μὲν ΔΕ περιφέρειαν ε ἡ, τῇ δὲ ΕΛ ☾ παρὰ τὸ πλάγος διαφορᾶς α λ, ὅλην ὑπὲρ τὴν ΔΛ, ἐφ' ἣν ἀφεστήκει ὁ ἀστὴρ ἐπὶ τὰ προηγούμενα τῆς ἡλίου μοίρων ε λή, ὅσας κατὰ τὸν αὐτὸν τρόπον ἐπιβαλλουσιν ἀπὸ τοῦ περιγείου τοῦ ἐπικύκλου μοίρας Β ς' ἐγγισα. τὰς πάσας ἄρα ὁ τῆς ἀφροδίτης ἀστὴρ, ἀπὸ τῆς ἑωσφορίας λειτουργίας ἐπὶ τὴν ἑώαν ἀνατολὴν λιμνάζει θήσεται τοῦ ἐπικύκλου μοίρας ί, ὅσας γὰρ ταῖς προκειμέναις ἐγγισα ις ἡμέραις ἀκολούθως τοῖς φαινομένοις διαπορεύεται. τούτων δ' ἀπὸ διειλημμένων, θεωρητέον καὶ τὰ περὶ τὰς ἐκλειπτικὰς φάσεις τοῦ τοῦ ἑρμοῦ συμβαίνοντα. καὶ πρῶτον ὅτι ☾ τὰς ἀρχὰς τοῦ σκορπίωνος, καὶ τὴν μεγίστην εἰς τὰ ἑπόμενα τοῦ ἡλίου ποιοῦνται διάστασιν, ἑωσφόρος οὐ δύναται φαίνεσθαι. ἐκκείσθω γὰρ ἡ διὰ τῶν φάσεων διαγραφὴ τοῦ ε σημείου τοῦ διὰ μέσων ὑποτεθειμένη περὶ τὰς ἀρχὰς τοῦ σκορπίωνος, ὅπου κατὰ τὴν λύσιν ἡ μὲν ὑπὸ ΒΕΔ γωνία, τοιούτων ὀκτὼ ξθ, οἵων αἱ Β ὀρθαὶ τξ, οἵων δὲ ἡ ὑποτείνουσα ΕΚ, τοιούτων ἡ μὲν ἐλάσσων τῶν πρὸς τὴν ὀρθὴν ξη, ἡ δὲ μείζων λη θ. καὶ οἵων ἄρα ὀκτὼ ἡ ΒΔ ☾ καθόλου διαστάσεως ι, τοιούτων καὶ ἡ δε ἔσαι ιζ λθ. ἀλλ' ὅταν τὴν προκειμένην θέσιν ἔχῃ ὁ ἀστὴρ, νοτιώτερος γίνεται τοῦ διὰ μέσων μοίρας ς' ἐγγισα. ὥστε ἑωσὶ κατὰ τοὺς ἐκκειμένους λόγους, καὶ οἵων ὀκτὼ ὀκτὼ ἡ λθ τοῦ πλάτους ς, τοιούτων καὶ ἡ μὲν λε γίνεται δ κδ, ἡ δὲ Δ ☾ ὅλη τῶν αὐτῶν κβ ἐγγισα, τοσαύτας ἀφεστῶσι δεῖ τὰ ἀστέρα τ' ἀκριβοῦς ἡλίου, ἵνα διωκισθῇ φαίνωνται πρώτως. ὡς' ἐπειδὴ μόνας ἀφίσαται τοῦ ἀκριβοῦς ἡλίου τὸ πλεῖσον ἐν ἀρχαῖς ἀμ τ' σκορπίωνος, μοίρας κ νή (τοῦτο γὰρ ἡμῖν προαπεδείχθη διὰ τῶν πρὸς τὰς μεγίστας ἀποστάσεις ἐφωδιλυμένων) φανερὸν ὅτι αἱ τοιοῦτοι τ' φάσεων ἐκτὸς ἐκλείψουσιν. ἐὰν δὲ λη πάλιν ἐκτεθείσης τ' ὁμοίας τῶν φάσεων διαγραφῆς, τὸ ε σημεῖον ὑποθώμεθα τῇ ἀρχῇ τ' ταύρου κατὰ τὴν ἑώαν ἀνατολήν, ὅταν ὁ μὲν ἀστὴρ κατὰ τὰς ἐκκειμένας παρόδους νοτιώτερος ᾖ τοῦ διὰ μέσων μοίρας ς' καὶ ε' ἐγγισα, οἱ δὲ τῶν πρὸς τὰς ὀρθὰς γωνίας λόγοι τοῖς προκειμένοις ὦσιν οἱ αὐτοί, τὴν μὲν δε τῶν αὐτῶν ἔξομεν ιζ λθ, τὴν δὲ λε, τοιούτων δ λζ, οἵων ὀκτὼ ἡ θ λ τοῦ πλάτους ς ί, τὴν δὲ Δ ☾ ὅλην τῶν αὐτῶν κβ ις. ὥστε καὶ ἐνθάδε τοσαύτας ἀφεστῶσι δεῖ τὰ ἀστέρα τ' ἀκριβοῦς ἡλίου λείπειν τὸν ἀστέρα, ἵνα πρώτως ὀφθῇ. μὴ ἀφισαμένου δὲ τὸ πλεῖσον ὑπὲρ τὰς προαποδεδειγμένας κβ ιγ μοίρας, ἐκτὸς καὶ αἱ τοιοῦτοι τῶν φάσεων ἐκλείψουσι. καὶ δέδεικται ἡμῖν τὰ προτεθέντα σύμφωνα τοῖς τε φαινομένοις καὶ ταῖς ἐκκειμέναις ὑποθέσεσιν.





ΕΦΟ-

ΕΦΟΔΟΣ ΕΙΣ ΤΑΣ ΚΑΤΑ ΜΕΡΟΣ ΤΩΝ φαύσεων καὶ δύσεων διαστάσεις ἀπὸ τοῦ ἡλίου.

Φανερὸν δ' αὐτόθεν ὅτι ἐκ διαθόλου τῶν ιβ προφερομένων ὑποκειμένων ἐφ' ἑκάστου τῶν ἀστέρων, καὶ ἐν κατὰ τὸν ε τομὸν διαιρουμένης ἀρχῆς τῶν δωδεκατημορίων, διατοῦτο καὶ ἐν ὑπὸ βέλ γωνίας διθήσεται μὲν ἡ δ κε, καὶ ἡ πρὸς τῷ ζι αὐτῷ τοῦ ἀστέρος ἀπόστασιν κατὰ πλάτος πάροδος, τουτέστιν ἡ κγ, ἧς ἡ θλ. δεῖ δὲ δεῖξαι ἐκ ἔστε κε, ἧς ἡ ελ, καὶ ἔτι ἡ φαινομένη διάστασις, ἡ δ κ, ἧς ἡ δλ. ᾧ δὴ τρόπῳ καὶ ὧν πάντων τῶν δωδεκατημορίων ἐπιλογισάμενοι πάλιν, ἵνα μὴ μακρὰν ποιώμεν τὴν συντάξιν καθ' ἕκαστον τῶν ε ἀστέρων, ὧδε μόνου μέντοι δεῖ τὸ αὐταρκὲς τοῦ προκειμένου μέσου κλίματος, τὰς φαινομένας τῶν ἀνατολῶν καὶ δύσεων ἀπὸ τοῦ ἀκειβοῦς ἡλίου διαστάσεις, ὡς αὐτῶν τῶν ἀστέρων ἐν ταῖς ἀρχαῖς τῶν δωδεκατημορίων ὑποκειμένων, ὑποτάξαμεν, καὶ ταύτας τοῦ προχείρου χρήσεως ἕνεκεν, ἐν ε κανονίοις τῶν ε ἀστέρων, ἑκάστῳ προτέχοντι στίχους ιβ. τούτων δὲ τὰ μὲν πρῶτα ς', χρόνου τε καὶ ζῴων καὶ ὡρῶν ὑποτάξαμεν ὧδε· σελίδια γ', τῶν μὲν πρώτων σελιδίων προτεχόντων τὰς τῶν δωδεκατημορίων ἀρχὰς, τῶν δὲ δευτέρων τὰς τῶν ἑῴων ἀνατολῶν διαστάσεις, τῶν δὲ τρίτων τὰς τῶν ἑσπερίων λύσεων. τὰ δ' ἑξῆς β κανόνια τοῦ τε ☿ ἀφροδίτης καὶ τοῦ τοῦ ἑρμοῦ ὧν ε σελίδιον τῶν μὲν πρώτων ὁμοίως προτεχόντων τὰς τῶν δωδεκατημορίων ἀρχὰς, τῶν δὲ δευτέρων τὰς τῶν ἑσπερίων ἀνατολῶν διαστάσεις, τῶν δὲ τρίτων τὰς τῶν ἑσπερίων λύσεων. καὶ πάλιν τῶν ♂ τετάρτων τὰς τῶν ἑῴων ἀνατολῶν, τῶν δὲ τρίτων τὰς τῶν ἑσπερίων λύσεων. καὶ ἔστιν ἡ τῶν κανονίων ἔκθεσις τοιαύτη.

Ἔκθεσις κανονίων περιεχόντων τὰς τῶν πλανωμένων φάσεις καὶ λύψεις.

ιβ τημορίων ἀρχαί	ΚΡΟΝΟΥ ἑώας αὐγατ		ἑσπερ. λύσ		ΔΙΟΣ ἑώας αὐγατ		ἑσπερ. λύσ		ΑΡΕΩΣ ἑώας αὐγατ.		ἑσπερ. λύσ	
λεοῦ	κγ	α	ια	κγ	κ	ι	ι	ιθ	κα	ιβ	λα	μ
ταύρου	κα	νζ	ια	μδ	ιθ	ς	ι	κθ	κ	γ	ια	μγ
διδύμων	ιζ	νβ	ιβ	κς	ιε	ἰνα	ια	ι	ιζ	κα	ιβ	λ
καρκίνου	ιδ	β	ιδ	β	ιβ	μγ	ιβ	μς	ιϰ	λγ	ιδ	λγ
λέοντος	ια	λδ	ιε	λδ	ι	λα	ιδ	λα	ιβ	λγ	ιζ	ιε
παρθένου	ι	νγ	ις	νγ	ι	α	ις	ιβ	ι.ε	μς	κ	ε
ζυγοῦ	ι	μγ	ιζ	ς	θ	νζ	ις	λδ	ια	λγ	κα	α
σκορπίου	ι	νγ	ις	νγ	ι	μα	ις	ιβ	ιϰ	μγ	κ	ιθ
τοξότου	ια	λα	ιε	λδ	ι	μ	δ	λα	ιβ	λδ	ιζ	λβ
αἰγοκερω.	ιδ	β	ιδ	β	ιβ	μς	ιβ	μγ	ιβ	με	ιδ	με
ὑδροχόου	ιζ	νβ	ιβ	κς	ιε	να	ια	ι	ιζ	λε	.β	λθ
ἰχθύων	κα	νζ	ια	μα	ιθ	ς	ι	κθ	ις	κε	ια	μθ

ιβ τημορίων ἀρχαί	ΑΦΡΟΔΙΤΗΣ ἑσπερ.αὐ.		ἑσπερ.δύ.		ἑσπερ.αὐ.		ἑσπερ.δύ.		ΕΡΜΟΥ ἑσπερ.αὐ. ἑσπερ.δύ				ἑσπερ.αὐ.		ἑσπερ.δύ	
λεοῦ	ε	ι	δ	θ	γ	ō	ι	κγ	θ	νγ	θ	νγ	κγ	νγ	κγ	λγ
ταύρου	ε	γ	δ	ις	ς	ις	θ	μ	ι	δ	ι	ιε	κβ	ιε	κβ	ιθ
διδύμων	ε	ιβ	ε	ιζ	θ	ιθ	ζ	λς	ι	ιγ	ια	μζ	ιγ	ō	ις	μδ
καρκίνου	ε	λς	γ	κγ	θ	ν	ε	νθ	ιβ	κβ	ιε	λδ	ιδ	δ	ιβ	λ
λέοντος	ς	ις	ιγ	γ	γ	β	ε	ε	.γ	μγ	ιθ	νθ	ια	κε	ι	κθ
παρθένου	ζ	κβ	ιγ	β	ς	λγ	δ	νδ	ιγ	α	κγ	ιγ	ι	κα	θ	νθ
ζυγοῦ	ζ	νγ	ιζ	μγ	ε	μα	δ	νδ	κβ	μθ	κγ	ιβ	θ	να	ι	ō
σκορπίου	γ	κ	ιγ	μζ	ε	κγ	δ	νε	κ	α	κβ	α	θ	μδ	ι	ιθ
τοξότου	ζ	μθ	ν	α	δ	λθ	ε	ις	ιγ	ια	ζ	κε	θ	κε	ιϰ	ιθ
αἰγοκέρ.	ς	νε	δ	γ	β	μγ	ς	λε	ι	νδ	ιβ	ι	θ	λς	ιδ	ε
ὑδροχόου	ε	να	γ	ις	α	λ	γ	λγ	ια	ι	θ	ν	ιβ	κζ	ιζ	ν
ἰχθύων	ε	κβ	γ	λγ	ō	κδ	ι	ις	ι	ια	θ	μγ	ιθ	ιε	κα	μς

ΕΠΙΛΟΓΟΣ ΤΗΣ ΣΥΝΤΑΞΕΩΣ.

Προσαναπληρωθέντων οὖν καὶ τῶν τοιούτων ὧν σύνε, καὶ σχεδόν γε πάντων κατ' ἐμὴν νοῦν ἐφωλθυμηνάν, τῶν εἰς τὴν παύτην σωτάξιν ὀφειλόντων θεωρηθῆναι, κατ' ὅσον ὅ, τε μέχρι τοῦ δλύρο χρόνος, πρὸς εὕρεσιν ἢ ἐπανόρθωσιν ἀκριβεστέραν σωήργει, ⁊ ὁ πρὸς τὸ δύχρηστον μόνον ⁊ θεωρίας, ἀλλ' οὐ πρὸς χάλλειξιν ὑπομνηματισμὸς ὑπέβαλλεν, οἰκεῖον αὖ ἡμῖν φάντασθαι καὶ σύμμετρον εἰλήφοι τὸ τέλος ἡ πᾶσα πραγματεία.

ΤΕΛΟΣ ΤΗΣ ΠΤΟΛΕΜΑΙΟΥ ΜΑΘΗ-

ματικῆς σωτάξεως.

ΘΕΩΝΟΣ ΑΛΕΞΑΝ

ΔΡΕΩΣ ΕΙΣ ΤΗΝ ΤΟΥ ΠΤΟΛΕΜΑΙ-

ΟΥ ΜΕΓΑΛΗΝ ΣΥΝΤΑΞΙΝ

ΥΠΟΜΝΗΜΑΤΩΝ

ΒΙΒΛ. ΙᾹ.

THEONIS ALEXANDRINI

IN CLAVDII PTOLEMAEI

MAGNAM CONSTRVCTIO

NEM COMMENTARIO-

RVM LIB. XI.

BASILEAE

Apud Ioannem Vualderum.

ΘΕΩΝΟΣ ΑΛΕ.

ΞΑΝΔΡΕΩΣ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΠΤΟΛΕΜΑΙΟΥ ΜΑΘΗΜΑΤΙΚΗΣ ΣΥΝΤΑΞΕΩΣ.

ΠΡΟΟΙΜΙΟΝ.

ΥΝεχέστερον προτρεπόμενος παρὰ τῶν ἀκροατῶν τέκνον Ἐπιφάνιε ὑπαγορεύειν εἰς τὰ ἑκάστω λοιπούμενα λυσιτελῆ τῆς Πτολεμαίου μαθηματικῆς συντάξεως, καλῶς ἔχειν ἡγησάμην τὸν ὑπομνηματισμὸν ταύτης ποιήσασθαι, καὶ μέντοι ὡς ἂν οἷός τε ὦ τῆς τοιαύτης σπουδῆς ἐπιμεληθῆναι τε τῶν ἀστρονομουμένων ἀσκήσεως, καὶ τῆς τῶν στοιχειουμένων προόδου. λυσιτελὲς δὲ ὄντι τοῖς φιλαλήθως καὶ ζητητικῶς ἐντυγχάνουσιν ἐφικέσθαι, ὡς ὅτι πολλὰς ἀποδείξεις τῶν μὴ ὅλως ἐπινοηθεισῶν παρὰ τῶν πρὸ ἡμῶν ὑπομνηματιστῶν παρειμένα, ἔν τε τοῖς καταλελοίπασιν ὑπομνήμασιν. τὰ γὰρ σαφέστερα προειμένοις παραλιπεῖν, τὰ μάλιστα λυσιτελῆ προαλειπόντα φαίνονται. καὶ πρὸς τούτοις τοῦ Πτολεμαίου διαῤῥήδην ἐν ἀρχῇ τῆς πραγματείας λέγοντος, μέλλοντα ἅπαντα γραμμικῶς ἀποδεικνύειν, αὐτοὶ τὰ πλεῖστα καθάπερ ἐν προχείροις κανόσι διὰ ψιλῶν ἐφόδων προαίνουσιν. ἡμεῖς δὲ σπουδῇ μεγίστῃ τιθέμενα μὴ μόνον διὰ τῆς γραμμικῆς λέξεως ἅπαντα ῥᾳδίως διώκαμεν διεξελθεῖν, ἀλλὰ καὶ μηδὲν ὅλως τῶν δοκούντων εἶναι λυσιτελῶν παραλεῖψαι, καὶ μὴ † ποσοῦτοι ὦμεν πρὸς τῶν τοιούτων διαλαμβάνοντες. καὶ διὰ τὸ μὴ μακροποιεῖσθαι τὸν ὑπομνηματισμόν, ὧν μὲν τῆς πρώτου τῆς συντάξεως, διὰ τὸ στοιχειῶδες, ἅπαντα ῥᾳδίως λέξειν ἐκτιθέμενοι, ὧν δὲ τῶν ἑξῆς, ὅσα μὲν καὶ τοῖς μικρὰ σπουδαῖα λυσιτελοῦσι δύναμιν καταφαίνειν, τούτων ἐκόντες οὐκ ἀμελήσομεν. ὅσα δὲ μὴ τοῖς τοιούτοις μετρίως καταφαίνειν δυσθεώρητα, καὶ τούτων τὰς ἀποδείξεις ἐκτιθέμενοι. χάριν δὲ μεγίστην ἡγούμεθα λαμβάνειν, παρὰ τῶν μὴ ὡς ἐχρῆν ἐντετυχηκότων διορθοῦσθαι, τὰ μὴ ὡς ἐχρῆν παρ' ἡμῖν ἢ διειλημμένα. καθάπερ φησί καὶ αὐτὸς, μὴ δ' αὐχεῖν ἡγεῖσθαι μεγάλης τινὸς καὶ θείας οὔσης τῆς ἐπαγγελίας, καὶ τῷ ὑπ' ἄλλων τυχόντων διορθώσεως. οὐδὲ γὰρ καὶ αὐτοὶ τοσούτους ἑαυτοὺς εἶναι πεπεισμένοι, ὡς ἅπαντα ῥᾳδίως λέξειν ἀναμφισβητήτως διεξελθεῖν. Παύσασθαι καλῶς οἱ γνησίως φιλοσοφήσαντες. Προσῆκον ἡγοῦμαι τὰ ἀστρονομεῖν ἐπαγγελλόμενον, μὴ τὰς ἐκ φιλοσοφίας μακρολογίας παρεσπάσθαι, ἀλλ' ὧν τὸ σωματωδέστερον καὶ τὸ διαστατὸν πεφυκέναι, ὅσα κατά γε τὸν λεγόμενον καὶ τὴν ὅλην διάνοιαν ἔστι σαφῆ. καὶ γὰρ ὅτι χρήσιμον τὸ ὅλον προοίμιον ὡς ἐγὼ νομίζω σαφὲς, εἴτις αὐτὸ καὶ τὸ ἁπλούστερον ἐκδέχοιτο, καθάπερ καὶ αὐτῷ τῷ Πτολεμαίῳ δοκεῖ. φησὶ γὰρ ἐν τελευταίοις τοῦ προκειμένου προοιμίου, γεγράφθαι ἡμῖν ἃ μὲν ἡ πραγματεία, ἐφ' ὅσον ἂν οἱ πάλαι καὶ ὧν ποσὸν προσεκοφότων παρακολουθεῖν αὐτῇ δύναιντο, σὺν νέοις λέγων πρὸς οὓς πραγματευόμενον, οὐκ ἂν οὕτως ἤρεσε τῷ τῶν ἑαυτοῦ προοιμίων ἀρχηγὸν γίνεσθαι. εἰ δὲ σὺν μετρίοις, οὐκ ἂν οἶμαι πολλῶν λόγων δεῖσθαι, ὅθεν ἡμεῖς ὧν τὸ σωτελεῖν τῇ ὅλῃ διανοίᾳ ἐρχόμενα. ὅτι μὲν οὖν κατ' ἐμὲ γνώμην ἡ ὅλη διάνοια αὕτη, τὸν βιοῦντα ἄνθρωπον ἀεὶ δεῖ τῆς καλῆς καὶ βιωτὸν γίνεσθαι κατασκευῆς. ἔστι δὲ αὕτη ἡ κατάσκευη διττή, τῇ τε θεωρίᾳ καὶ τῇ πράξει, ὅθεν καὶ ἀπ' ἐπαίνου τῶν ταῦτα διελόντων ἤρξατο, φάσκων καλῶς διεχωρικέναι τὸ θεωρητικὸν ἀπὸ τοῦ πρακτικοῦ τοὺς γνησίως φιλοσοφήσαντας. λέγει δὲ οὐκ ἐκ τοῦ πολιτικοῦ, ἐπεὶ καὶ μετ' ὀλίγα τοῦ Ἀριστοτέλους μνημονεύων, καὶ τὸ θεωρητικὸν αὐτὸν φησί καλῶς διελθεῖν, ὡς ἂν καὶ ἄλλό τι καλῶς διελόντα, ἀλλὰ τὸ εἰρημένον, τουτέστι τοῦ ὅλου φιλοσοφίαν εἰς τὸ πρακτικὸν καὶ θεωρητικόν. λέγουσι δὲ τῇ μὲν θεωρίᾳ προκεῖσθαι τέλος τὸ ἀληθές, τῇ δὲ πράξει τοῦ εὐδαιμονίαν καὶ τοῦ ἤθους καλοκαγαθίαν, ὅθεν αἱ ὑπὸ τὸ πρακτικὸν αἱ τοῦ ἤθους ἀρεταὶ ἠθικαὶ καλοῦνται. φησὶ δὲ ὁ Πτολεμαῖος συμβεβηκέναι τῷ πρακτικῷ τὸ πρότερον αὐτοῦ τὸ, θεωρητικὸν τυγχάνειν, διὰ τὸ ἴσως εἶναι πρότερον † πράξαντά τι, καὶ ὅτι αἱρετὸν τὸ πραχθησόμενον καταληφθέναι, καὶ ὅτι διὰ τοῦτο αἱ γνῶσιν, καὶ τὸν μὲν τρόπον, ἀπορ ὄντων ἀληθευτικῆς καὶ θεωρητικῆς ἕξεως. ἀλλ' ὅμως φησί μεγάλων ἐν αὐτοῖς τὴν διαφορὰν. τῶν μὲν γὰρ ἠθικῶν ἀρετῶν φύσις καὶ αὐτοῦ

διδασκαλίας περιγίνεσθαι. δεῖ ἔθος γὰρ ἅπασαι αὗται πλεῖον τῆς φρονήσεως δοκοῦσι σωίζεσθαι. ὅθεν καὶ ἠθικὰς αὐτὰς ἀξιοῦσιν ὀνομάζεσθαι, οἷον ἐθικάς τινας οὔσας. εἰσὶ δ' αὗται σωφροσύνη, ἀνδρία, ἐλευθεριότης, δικαιοσύνη, πραότης. καὶ ἁπλῶς ἁπάσαι αἱ ἀγαθαὶ τὸ ἔθος εἶναι λέγονται. δοκοῦσι δὲ τούτων τινὲς καὶ φυσικῶς παραγίνεσθαι. καὶ γὰρ αἱ ἄλογα ζῶα τὰ μὲν ἀνδρεῖα, τὰ δὲ σώφρονα λέγεται εἶναι. τούτων μὲν οὖν τινες αἱ χωρὶς λόγου πᾶς ἀνθρώποις ἐγγίνονται, ἡ δὲ τῶν ὅλων φησὶ θεωρία, οὐκ ἄνευ λόγου. οὐκ ἁπλῶς δὲ θεωρίαν εἶπεν, ἀλλὰ τῶν ὅλων. γένοιτο γὰρ ἂν καὶ περὶ θεωρίας αἱ ἀληθείας διαπόρησις, καὶ ἄνευ διδασκαλίας, οἵαι καὶ αἱ τῶν ἀξιωμάτων, οἷον τὰ τοῖς αὐτῷ ἴσα αἱ ἀλλήλοις ἐστὶν ἴσα. ἢ μᾶς οὖν ταύτης διαφορᾶς διαφέρειν φησὶ τὰς ἐπιστήμας. ἕτερον δὲ ὅτι περὶ μὲν πρακτικῆς τὸ ὄφελος, διὰ αὐτοῦ τοῦ πράττειν (οὐδὲν δ' ἂν εἴη τὸ διὰ σώματος ἐνεργεῖν) παρίσταται, τοῦ δὲ θεωρητικοῦ, ἐπὶ μὲν τὰς θεωρήματα σπουδῆς τε καὶ προκοπῆς. ὄντων οὖν διαφόρων τοῦ τε πρακτικοῦ λέγω καὶ τοῦ θεωρητικοῦ, αἱ διαιρούντα τοῦ μέν ἑκατέρου ἔχεσθαι μὲν δύζωντα, οὐδὲ αὐτὸς φησι ποιεῖν. πῶς μὲν τὰς πράξεις ῥυθμίζων ἑαυτὸν γὰρ αὐτοῖς ταῖς τῶν φαντασιῶν ἐπιβολαῖς. αὐτὶ δὲ γὰρ αὐτῷ δεῖ ἀρχέσθαί τε αἱ περαίνεσθαί τι πράττειν, παρώμενος δυτακτῶς αἱ δυρύθμως οὐδὲ ποιεῖν. τοῦ δὲ θεωρητικοῦ φησὶν ἔχεσθαι, δεῖ τὴν σχολὴν εἰς τὴν τῶν θεωρητικῶν καταναλίσκειν διδασκαλίαν, μάλιστα τῶν μαθηματικῶν, ταῦτα δὲ δῆλα τά τε περὶ γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ μουσικὴν καὶ ἀστρονομίαν. ὅτι δὲ καὶ ἡ μαθηματικὴ ὑπὸ τὸ θεωρητικόν, τὸν Ἀριστοτέλην μάρτυρα παρεισφέρει, ὃς εἰς τρία διαιρεῖ τὸ θεωρητικόν, εἴς τε τὸ φυσικὸν καὶ μαθηματικὸν καὶ θεολογικόν. καὶ φησὶ καλῶς ἔχειν τὴν διαίρεσιν, διά τι καὶ τὰ πράγματα τρία ἐστίν, ἐξ ὧν πάντα τὰ ὄντα συνέστηκεν. ἔοικε δ' ὄντα λέγειν τὰ φυσικὰ σώματα, ταῦτ' οὖν ἐστὶν ἐξ ὕλης καὶ εἴδους αἱ κινήσεως, τῶν τριῶν τούτων πραγμάτων οὐ διωρισμένων μὴν ἀλλήλων καθ' ὑποστάσιν χωριστῶν, ὡς ἰδίᾳ μὲν ὕλην, ἰδίᾳ δὲ τὸ ἕτερον καθ' αὑτὸ ὑποστῆναι ἀλλὰ δεῖ νοεῖσθαι ἕκαστον αὐτῶν ὡς ἰδίαν ἔχον φύσιν. οὐ γὰρ ἡ αὐτὴ κινήσεως αἱ ὕλης, ἢ κινήσεως αἱ εἴδους φύσις, ἢ ὕλης αἱ εἴδους. τριῶν οὖν τούτων ὄντων τῆς μὴ κίνησιν ὑποστῆσαι τὸ θεολογικὸν εἶδος. δεῖ γὰρ ζητεῖσθαι τὸ περὶ ὅλων πρώτης κινήσεως αἴτιον, λέγει δ' αὖ πρώτην κίνησιν τὴν ἀπ' ἀνατολῶν ἐπὶ δύσιν, ταύτην γὰρ πρώτην ὁ κόσμος κινεῖται, τῷ οὖν ταύτης κινητικὸν αἴτιον ζητεῖσθαι, ὑπέστη ἡ θεολογία. θεὸς γὰρ τούτου τὸ αἴτιον, ἀκίνητός τις καὶ ἄϋλος φύσις, ἥτις περὶ τὸ ἁπλοῦν φησὶν ἐκλάβοι, αὐτὶ δὲ εἰς ἁπλότητα ἀναπέχων αἱ χωρίζων αὐτὸν τῶν σωμάτων, οἷς αἴτιός ἐστι περὶ κινήσεως, ἀξιῶν ὥσπερ περὶ αἰτιῶν γενέσθαι ταύτην τὴν νόησιν, καθάπερ τῶν ἐν τοῖς μαθήμασι. καὶ γὰρ ἐνταῦθα τὴν τε ἐπιφάνειαν περὶ τὴν τοῦ σφαιροῦ ἀφαίρεσιν ἐνόησαμεν, καὶ τὴν γραμμὴν περὶ τὸ τοῦ ἐπιπέδου. αἱ ἔτι ἀφαιρῶντες αἱ ἀναλύοντες, ἐπὶ τὸ σημεῖον καταντήσαμεν, χωρίζαντες αὐτοῦ αἱ τὸ μῆκος. ὃ ἔτι ὑπολειπόμενον, ἵνα εἰς τὸ πάντη ἁπλοῦν αἱ ἀμέγεθες ἔλθωμεν. θεολογίαν μὲν οὖν διὰ τὴν κίνησιν, τὸ δὲ φυσικὸν εἶδος διὰ τὴν ὕλην ὑπέστη. ἐπεὶ γὰρ τὸ φυσικὸν πρὸς τὴν ἀεὶ κινουμένην καὶ μεταβάλλουσαν ποιότητα, οἷον τὸ λευκόν, τὸ θερμόν, τὸ γλυκύ, τὸ ἁπαλόν, δύναται ὅτι οὐ μένει ἐπὶ τῶν αὐτῶν ποιοτήτων. τὸ δὲ μὴ μένειν, παρὰ τὴν ὕλην ἂν εἴη. στάσεως γὰρ μᾶλλον ἢ μονῆς τὸ εἶδος αἴτιον ἀλλ' οὐ φύσεως. διὸ ἡ φυσικὴ ἡ ὕλη αἰτία. ἡ δὲ μαθηματικὴ διὰ τὸ εἶδος ὑπέστη. πρὸς γὰρ ὅπερ φησὶν αὖτη, αἱ τὴν τούτου ποιότητα ἔχει, ἔτι τε τὰς μεταβατικὰς κινήσεις. εἶδος δ' ἂν λέγοι τὸ πέρας, αἱ τὴν ἐπιφάνειαν, ποιότητα δὲ εἴδους τὸ σχῆμα, οἷον τὸ τρίγωνον ἢ τετράγωνον. σκοπεῖσθαι δ' αὐτὴν αἱ πρὸς πηλικότητα διηνότι, ὡς τὴν μεγεθικὴν, αἱ πρὸς ποσότητα, ὡς τὴν ἀριθμητικὴν, ἀλλὰ ἢ πρὸς τόπου αἱ χρόνου, ὡς τὴν ἀστρονομικὴν, ὅτι ἢ ποῦ ὁ ἀστὴρ ἢ ἐν πόσῳ χρόνῳ ἀποκαθίσατο, καταλαμβάνει. αἱ δεῖ ἐν ταύτῃ τὴν μαθηματικὴν ὥσπερ ἐν μέσῳ εἶναί τε φυσικῆς ἢ θεολογικῆς. τούτων γὰρ τὸ μὲν αἰσθήσεως χρήζειν πρὸς τὸ καταναοεῖσθαι, ὡς τὸ φυσικόν, τὸ δὲ νοῦ, ὡς τὸ θεολογικόν, τὴν δὲ, διὰ μὲν αἰσθήσεως ἢ οὐδὲν ταύτης νοεῖσθαι. ἔτι αἱ δεῖ ταύτην ὥσπερ τοῖς οὖσι συμβεβηκέναι, αἱ ὄντα τοῖς καὶ ἀθανάτοις. πάντα γὰρ τὰ ὄντα, ἢ πέρατα καὶ σχήματα ἔχει, ὡς αἰ περὶ σωμάτων φυσικῶν λέγων, ὅθεν καὶ πρότερον αὐτὸς ἐξελεξάμεθα, τὸ πάντα τὰ ὄντα ὕλην ἔχειν καὶ εἶδος αἱ κίνησιν. εἰ οὖν πάντα ἢ πέρασι, ἢ σχήμασι, περὶ ἃ ταῦτα ἡ μαθηματικὴ, περὶ πάντα ἂν εἴη. τοῖς μὲν οὖν ἀεὶ μεταβάλλουσι, ταῦτα δὲ δῆλα τὰ φυσικὰ, ἢ τὸ δυχώριστον φυσικὴ αὐτῶν εἶδος μεταβάλλει δῆλον. δ' ἂν εἴη ὅτι ταῦτα τὰ φυσικὰ, αἱ ἀεί μετά τινος ἐπιφανείας ἐστὶ αἱ εἴδους, ἢ ἀεὶ ἢ κινήσει δῆλον τὸ εἶδος ἔχει. τοῖς δ' ἀϊδιοῖς ἢ ὑπάρχειν τὴν μαθηματικὴν, δεῖ αἱ ταῦτα εἴδους ἔχειν, εἴδους ἀκινήτου. προστιθέασιν οὖν φησὶ τὴν μαθηματικὴν, τῶν

τ᾽ ἄλλων, ὅτι τὸ μὴ φυσικὸν ἀκατάληπτον ὂν ἐωρῶμεν, ἀλλὰ τὸ ῥᾳδιουργὸν ὕλης, τὸ δὲ θεολογικὸν ὁμοίως ἀκατάληπτον, ἀλλὰ τὸ παντελῶς ἀφανὲς αὐτό, τὸ δὲ προεισὶ διὰ ἀναμφισβητήτων ἀποδείξεων τε καὶ ἀριθμητικῶν καὶ γεωμετρικῶν. πάσης μὲν τ᾽ μαθηματικῆς ἐπιμεληθῆναι, μάλιστα δὲ ἀστρονομίας. διὰ τὸ ταύτῃ μόνῃ πρὸς τὰ ἀεὶ κατὰ ταὐτὸ ἔχοντα ἀναστρέφεσθαι. ἄλλως τε καὶ ὅτι διαπαντὸς εἰς τὰ ἕτερα μέρη τ᾽ φιλοσοφίας ὠφελῆσαι. εἰς μὲν τὸ θεολογικόν, τῷ καὶ αὐτῇ πρὸς τὰ θεῖα ἔχειν. ἐγγυτέρω γὰρ τὰ θεῖα εἶναι σώματα τ᾽ ἀσωμάτων θεῶν, ἢ περὶ τὰ μὴ θεῖα. ἔτι δὲ καὶ ὅτι διὰτακτός ἐστιν αὐτῶν ἡ φορά. τάξις δὲ θεῶν οἰκεῖον. εἰς δὲ τὸ φυσικὸν συμμεταβάλλεσθαι τῇ ἀστρονομίαν, ὅτι καὶ τοῖς φυσικοῖς σώμασιν ἀπὸ τ᾽ μεταβατικῆς κινήσεως τὰ ἰδιώματα, ὥσπερ τὸ μὴ ἄφθαρτον, ἐγκυκλίως κινεῖσθαι, τὸ δὲ φθαρτόν, ἐπ᾽ εὐθείας. ἔτι δὲ καὶ τ᾽ φθαρτοῦ τὸ μὲν βαρύ, ὡς τὸ μέσον φέρεσθαι, τὸ δὲ κοῦφον ἀπὸ τ᾽ μέσου. εἰ πῶν δὲ βαρὺ καὶ κοῦφον, μεταλαβὸν εἰς ποιητικόν, καὶ παθητικόν, οὕτι τ᾽ εἶτις μὲν βαρὺ θέλει λέγειν, ἀλλὰ παθητικόν, ἢ μὴ κοῦφον, ἀλλὰ ποιητικόν. καὶ μὲν καὶ πρὸς τὸ πρακτικὸν φησὶ τ᾽ ἀστρονομίαν εἶναι χρήσιμον. συνεβίζουσαν γὰρ τοῖς θείοις σώμασι, καὶ ταῖς τούτων διατάξεσι τε καὶ συμμετρίαν διδάσκουσαν, εἰς ἔρωτα ἄγειν τ᾽ καλοῦ, καὶ τάξιν ἐκποιεῖν τῇ ψυχῇ. χιάστων τοῦ Πτολεμαίου καὶ τ᾽ ἡμετέραν γνώμην τὸ τ᾽ πανὸς προοίμιον βάλλεται. εἶτα ἑξῆς ἐρεῖ καὶ ὃν τρόπον βάλλεται ἐπεξιέναι τῇ πραγματείᾳ, καὶ φησίν, αὔξειν πειρᾶσθαι τ᾽ ἀστρονομικὴν θεωρίαν, ὀρθὸς κριτὴς γινόμενος περὶ τὰ ἐκκειμένα τ᾽ παλαιῶν. ἐθέλειν γὰρ τὰ μὲν καλῶς ἐκτεθειμένα αὐτῆς καὶ ὀρθῶς πεποιημένα τ᾽ σκέψιν προθύμως προσιέναι, τὸν τοῦ μανθάνοντος ἀπαιτοῦντος τρόπον. ὅσα δὲ τοῦ τοῖς πρὸ αὐτοῦ ἐλέλειπται καὶ ἀναγκαῖαν ἔχει τὴν ἐπιζήτησιν εἰς συμπλήρωσιν τῆς θεωρίας, ταῦτα προστιθέναι μετ᾽ ἀκριβοῦς τῆς ἐπισκέψεως. αὐτὸς γὰρ ἀσκεῖν ὀργανον ταῖς προειλημμέναις πραγματείαις ἑπομένων, τὰ μὲν ὀρθῶς εὑρημένα προσίεσθαι καὶ μὴ παραιρεῖν, τὰ δὲ ἐλλείποντα προστιθέναι, ὅπερ καὶ ἀπάσῃ τῇ συντάξει τῆσδε τῆς θεωρίας, αὐτὸς ποιῶν φαίνεται. τὰ μὲν γὰρ ἀφαιρεῖ τῶν λόγων ὡς παρέλκοντα, τὰ δὲ διορθοῦται ὡς οὐκ ὀρθῶς εἰρημένα. ἐπιτιμῶν μὲν οὐλίγοις ἁμαρτήμασιν, αὐτὸς δὲ τοῖς πράγμασι πρόσω ἔχων, διὰ πείθων μὲν ἔλεγχον λαμβάνων, ἢ τῷ πίστιν. εἶτα ἐπεὶ οἶδε μὲν μακρῷ πολλαπλασίονα χρόνον ἀνελθεστέρας ἔτι ποιούμενος τὰς τ᾽ λυπήσεων καταλήψεις, φησί, τοσαύτην προσθήκην τῇ πραγματείᾳ ποιήσασθαι, ὅσον ὁ ἀπὸ τῶν παλαιοτέρων ἀστρονόμων χρόνος μέχρι τοῦ καθ᾽ ἡμᾶς γέγονε πλῆθος.

ΠΕΡΙ ΤΗΣ ΤΑΞΕΩΣ ΤΩΝ ΘΕΩΡΗΜΑΤΩΝ.

Βούλεται δὲ τούτῳ τῷ κεφαλαίῳ τῷ ἀπαρίθμησιν ποιήσασθαι τῶν ὀφειλόντων καθόλου καὶ μέρος ἀρχοειδῶς προληφθῆναι εἰς τ᾽ τῆς ἀστρονομικῆς συντάξεως θεωρίαν, καὶ δηλῶσαι ὅτι ἀνόλουθον ποιεῖται τῷ τάξιν τῆς τε τούτων διδασκαλίας, καὶ ἔτι τῆς τῶν ἀστέρων κινήσεως πρὸς τὰ φαινόμενα συμφωνίαν. ἐπεὶ καὶ αὐτὴ ἡ ὕλη τῆς προκειμένης θεωρίας. καὶ φησὶ προκεῖσθαι τῶν κατὰ μέρος τῆς τοιαύτης συντάξεως, τὸ τῷ καθόλου σχεῖν ἰδέαν ὅλης τῆς γῆς πρὸς ὅλον τὸν οὐρανόν. τί δέ ἐστι καθόλου τοιαύτην σχέσις, λέγει, τὸ τ᾽ γῆν τὸ μέσον ἐπέχειν τόπον, ὅτι τε σφαιροειδής ἐστιν ὁ οὐρανός, καὶ φέρεται σφαιροειδῶς. καὶ ὅτι ἡ γῆ τῷ μὴ σχήματι καὶ αὐτὴ σφαιροειδὴς ἐστί, πρὸς ἀίδησιν, ὡς καθ᾽ ὅλα μέρη λαμβανομένη, τουτέστιν ἤτοι σύμπασα, ἢ κατὰ μεγάλα μέρη, οἷον καθ᾽ ἕκαστον κλίμα μεταξὺ τῶν ὁρῶν καὶ τῶν ἐν αὐτῇ κοιλωμάτων, ὡς τούτων ἐλαχίστων ὄντων πρὸς τὸ ὅλον τῆς γῆς μέγεθος, ἢ καὶ τὰ εἰρημένα μέρη, ἔτι τε καὶ μετὰ θαλαττῶν ἢ ποταμῶν. δείκνυσι μὲν γὰρ ἐν τοῖς ἑξῆς, ὅτι καὶ ἡ ἐπιφάνεια τῆς θαλάττης καὶ παντὸς ὑγροῦ κέντρου σφαιροειδὴς ὑπάρχει. τῇ δὲ θέσει μέσην τοῦ παντὸς οὐρανοῦ κεῖσθαι κέντρῳ παραπλησίως, σημείου λόγον ἐπέχουσα, ὡς πρὸς τὸ μέχρι τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας ἀπόστημα. οὐ γὰρ ὅτι ἀμεγέθης ἐστὶ καθάπερ σημεῖον, ἀλλ᾽ ὅτι ὡς πρὸς τὸ οὐράνιον μέγεθος, οὐκ ἀξιόλογον ἔχουσα φαίνεται αὕτη τὸ μέγεθος. καὶ ὅτι οὐδὲ κίνησιν τινὰ ποιεῖται, ἀλλ᾽ ἕστηκε μέσην τοῦ παντός, ἀκίνητος τυγχάνουσα. καὶ ταῦτα δηλώσας ἐν τοῖς καθόλου ἀρχοειδῶς ὡς ἐκ ὑπομνήσεως καὶ ἁπλουστέρων παρατηρέων ὀφείλοντα προληφθῆναι, ἑξῆς καὶ περὶ τῶν κατὰ μέρος τινὰ διαλήψιν ποιεῖται, καὶ φησίν, ὅτι ἀνόλουθον ὂν ὅμως καὶ διὰ τούτων προλαβεῖν ἡμᾶς περὶ τῆς θέσεως τοῦ λόγου πρὸς τὸν ἰσημερινὸν καὶ

διὰ μέσων τ ζωδίων κύκλου, καθ' οὓς ὁ ἥλιος ἀεὶ φέρεται, τοτέσι πολίκην τὶς ὅσα ἡ πρὸς τ ἰσημερινὸν ἔγκλισις αὐτοῦ καταλαμβάνει, ὡδὶ τ διὰ τ πόλων αὐτοῦ γραφομένῳ μεγίστου κύκλου. ἡ γὰρ ἐκ τ τοιαύτης ἐγκλίσεως, οἱ χρόνοι τ ἡμερῶν & νυκτῶν καθ' ἑκάστην ἔγκλισιν τ σφαίρας, διάφοροι καταλαμβάνοντες, ὡς γὲ τῷ β βιβλίῳ δέδεικνυσιν. ἔτι τε & περὶ τῶν τόπων τ καθ' ἡμᾶς οἰκουμένης, τοτέσι ποῖον μέρος ὑπὸ τ γῆς τὸ οἰκούμενόν, καὶ εἰς γνῶσιν ἡμῖν ἐλήλυθος, πότερον τὸ πρὸς ἄρκτους ἢ πρὸς μεσημβρίαν. ἡ τὶς πάλιν ἡ τότε πολικότης κατά τε μῆκος & πλάτος. οὐδὲ γὰρ περὶ τ ἀγνώσων πρόκειται αὐτῷ διαλαβεῖν, ἡ πολικὰς τῶν τ τὰς οἰκήσεις μεγίστων ἢ ἐλαχίστων ἡμερῶν παρὰ τὰς ἰσημερινὰς ἀνατολάς, παρὰ τὰς ἐγκλίσεις τ ὁρίζοντων γινόμεναι, ἐκ τ βορειοτέρων & νοτιωτέρων αὐτῶν θέσεων. δῆλον γὰρ ὡς ἐκ τούτων αἱ ποιότητες διαφοραὶ, καθάπερ ὁ θεοδόσιος γὲ περὶ οἰκήσεων δέδεικνυσιν, ὅτι τὰ ἀπλανῆ ἄστρα ὅσα διὰ τ τε ἰσημερινὸ & τ μεγίστου τ ἀεὶ φανερῶν, πλείονα χρόνον ὑπὲρ γῆν ὁρίζοντα φαίνεται, τοῖς πρὸς ἄρκτον οἰκοῦσι, ἢ τοῖς πρὸς μεσημβρίαν. ὅσα δὲ διὰ μεταξὺ τοῦ τε ἰσημερινοῦ & τ μεγίστου τ ἀφανῶν, πλείονα χρόνον ὑπὲρ τ ὁρίζοντα φαίνεται τοῖς πρὸς μεσημβρίαν οἰκοῦσιν, ἢ τοῖς πρὸς ἄρκτους. διὸ συμβαίνει τ μ ἡλίου ὑπὸ τ θερινοῦ τροπικοῦ τυγχάνοντος, μείζονας γίνεσθαι τὰς ἡμέρας ὑπὲρ τ βορειοτέρων οἰκήσεων, ἐλάσσονας ἢ τὰ ὑπὸ τ νοτιωτέρων. τοῦ ἡ ἡλίου ὑπὸ τ χειμερινὸν τροπικοῦ τυγχάνοντος, ἀνάπαλιν, μείζους μ γίνεσθαι τὰς ἐλαχίστας τ ἡμερῶν ὑπὸ τ νοτιωτέρων οἰκήσεων, ἐλάσσονας ἢ ὑπὸ τ βορειοτέρων. γίνονται ἢ καὶ περὶ τὰς ἀνταβλικωτέρας & ἀντιβλικωτέρας τ ὁρίζοντων θέσεις διαφοραὶ, τῷ καὶ τ αὐτὸν χρόνον πλείω εἶναι τὸ πλῆθος τ ὡρῶν ὑπὸ τ ἀνταβλικωτέρων οἰκήσεων, ἐλάττω ἢ ὑπὸ τ ἀντικωτέρων. ἔτι δὲ καὶ περί τε τὰς ἀναφορὰς & δύσεις ὠρείους χρόνους, καὶ περὶ ἄλλα πλείονα γίνονται διαφοραὶ περὶ τὰς θέσεις τ ὁρίζόντων, ὡς γὲ τοῖς ἑξῆς φανερὸν ποιεῖται.

Εἶτα βαλόμενος τὸ χρήσιμον τ τούτων προσλαλήψεσθαι διδάξαι, φησὶ, προλαμβανομένη γὰρ ἡ τούτων θεωρία, τ τῶν λοιπῶν ἐπίσκεψιν δυσθεώρητον παρέχει. ἑξῆς ἢ πάλιν τούτων τ περὶ τ ἀστέρων ἐπίσκεψιν μέλλων ποιεῖσθαι, ἀναγκαῖον εὐθέως προεκθέσθαι, περὶ τ ἡλιακῆς & σεληνιακῆς κινήσεως & τ τούτοις ἐπισυμβαινόντων. ταῦτα δὲ ὅτι τὰ περὶ τὸν ἀπὸ κατασκευῆς χρόνους αὐτῶν & τὰς ἀνωμαλίας καὶ μήκους ἐποχὰς, ὁμαλάς τε & ἀπείρους, ἔτι τε & πλάτους, & ἀποκαταστάσεων καὶ μεγεθῶν, & παραλλάξεων, καὶ σωσθένους, καὶ ποσανσελινῶν, καὶ ἐκλείψεων, & προσνεύσεων, καὶ ὅσα ἄλλα ἐν τῷ γ & δ & ε βιβλίῳ καὶ ἑκτῷ διαλαμβάνει. χωρὶς γάρ φησι τ τούτων προδιαλήψεως, οὐδὲ τὰ περὶ τῶν ἀστέρων λέγω δὴ ἀπλανῆς τε & πλανωμένων, οἷόντ' ἂν γένοιτο διεξοδικῶς τοῦτ' εἰπεῖν ἐντελέστερον & ἀφελέστερον καταληφθῆναι. τελευταίαν ἢ ὄντως τ περὶ τ ἡλίου καὶ τ σελήνην ἀποδεικνυμένων & περὶ τ ἀστέρων ὡς ἐφικτὸν θεωρίαν ποιήσασθαι, προτάττει δὴ & ἐντεῦθεν, τ περὶ τ πλανωμένων διαλήψεως, τ περὶ τ ἀπλανῶν ἐπίσκεψιν, ἑξῆς ἢ ταύτης, τ περὶ τ ε πλανωμένων. ὅτι δὲ ἀκολούθως τάξει ἡ τοιαύτη ἀπαρίθμησις αὐτῷ γεγένηται, δῆλον ἡμῖν ὅτως ἔσται, πρώτερον μ γὰρ ἀπὸ τ καθολικωτέρων τ ἀρχὴν ποιήσηται, ἀδύνατ & γῆς, καὶ πρῶτον ἀπὸ οὐρανοῦ. εἶτα ἑξῆς περὶ τ θέσεως τ τούτων μερῶν, λέγω δὴ τ τε ζωδιακοῦ & τ καθ' ἡμᾶς οἰκουμένης. εἶτα πάλιν τ μεριαιοτέρων τ γῆς τόπων, τοτέσι τ καθ' ἕκαστον ὁρίζοντα περὶ τὰς ἐγκλίσεις γινομένων διαφορῶν. & ταῦτα δηλώσας ἐν τὰ ὀφείλοντα προληφθῆναι, πρὸς εὐμεταχείριστον ἐπίσκεψιν τ λοιπῶν τ ἀστρονομικῆς θεωρίας, ἑξῆς & τ ἐπιμεριαιοτέρων τ ἀπαρίθμησιν ποιήσεται, ἡλίου & σελήνης, ἡ τ λοιπῶν ἀστέρων ἀπλανῶν τε & πλανωμένων. ὅτι ἢ & τ τούτων τάξιν ἀκολούθως ποιήσεται τῇ πρὸς τὰ φαινόμενα συμφωνίᾳ φανερὸν ἡμῖν γενήσεται γὲ χρὴ οἰκείοις τόποις, ἐκ τ περὶ τὰς καταλήψεις αὐτῶν δεικνυμένων. τὰ μ γὰρ περὶ τὰς κινήσεις τ ἀπλανῶν τε & πλανωμένων ἐκ τ περὶ τ ἡλιον & τ σελήνην καταλαμβάνεται. διὸ προλαμβάνει τ περὶ τούτων πραγματείαν. ἔπειτα αὐτῶν τούτων προλαμβάνει τ περὶ τ ἡλιον. ἐκ γὰρ τ τούτων καταλήψεων, τὰ περὶ τ σελήνην καταλαμβάνεται. ἔτι ἢ προτάττει τ περὶ τ ἀπλανῶν πραγματείαν ἢ περὶ τ πλανωμένων, ἐπειδήπερ πολλάκις ἡ τοῦ ἀπλανοῦς ἐποχὴ χρήσιμος αὐτῷ πρὸς τ κατάληψιν τ πλάνητος γίνεται, ὡς γὲ τῷ θ βιβλίῳ φανερὸν ποιεῖται, ὅθεν προσέθηκε & ὅτι εἰκότως προτάττεται τὰ περὶ ἢ τ ἀπλανῶν σφαίρας τ περὶ τ πλανωμένων πραγματείας. διὸ & τελευταίαν τ τούτων λῆξιν ποιεῖται. ἐκάλεσε δὲ πλανωμένας οὐ μόνους τόπους ἀστέρας, λέγω ἢ τόν τε τοῦ κρόνου & τ τ διὸς καὶ ἀρέως & ἀφροδίτης καὶ ἑρμοῦ. διὰ τὸ μόνους τούτους ὁρᾶσθαι, ὡς μ ἐσώτας πρὸς ἄλληλα, ὡς ἢ ὑπὸ τὰ ἐπίμηνα. ὡς δὲ ὑπὸ τὰ προηγούμενα τοτέσιν ὑπὸ τὰ ἐμπροσθεν & ὄπισθεν, & ἔτι ὑπὸ τὰ πλάγια ὡς ὑπὸ τ περὶ πλάτος ἀκρότητας τὰς παρόδους ποιουμένους, & ἐοικέναι τοῖς περὶ τὰς τροχοὺς πλανωμένοις.

οὐδὲ ἢ λοιπὰς ἀστέρας πάντας, ἐκάλεσεν ἀπλανεῖς, διὰ τὸ τά τε διαστήματα καὶ οὐ σχηματισμὸς αὐτοὺς φυλάττοντας πρὸς ἀλλήλους, ἐοικέναι τοῖς μὴ ἀπ' ἀλλήλων πλανωμένοις. ἥλιον ἢ καὶ σελήνην οὔτε ἀπλανεῖς καλεῖ, διὰ τὸ μὴ φυλάττειν αὐτοὺς μήτε τὰ πρὸς ἀλλήλους διαστήματα, μήτε τὰ πρὸς τοὺς ἀστέρας, μήτε μὴν διαλλαγὴ τοῦ σχηματισμοῦ. ὅτε ἢ πλανωμένους, διὰ τὸ μήτε σημείζοντας αὐτοὺς φαίνεσθαι, μήτε ὑποφερομένους. ἕκαστα δὲ τὰ προειρημένα, ἀπολείπουσιν ἀρχαῖς ἢ καὶ ὥσπερ ὕλη τῆς ἀστρονομικῆς θεωρίας προσχρώμενος, τοῖς διὰ τῶν ὀργάνων παρατηρήσεως καταλαμβανομένοις πρὸς τὰς κινήσεις συμβεβηκόσιν. ἔτι ἢ καὶ ταῖς παρὰ τῶν παλαιῶν ἀναγεγραμμέναις ἀπειρίαις τηρήσεσι, καὶ μάλιστα ταῖς ὑπὸ τοῦ Ὑπάρχου. καὶ αὐταῖς πάλιν διὰ ὀργάνων καταληφθείσαις, ὧν τὰς κατασκευὰς ἢ τὰς θέσεις ἔτι τε καὶ τὰς χρήσεις ἐν τοῖς ἑξῆς καὶ τὰ οἰκείους τόπους ἐκτίθεται. ἢ τὰς ταῖς διὰ τούτων εὑρισκομέναις καταλήψεσι συμφώνους ὑποθέσεις ἐφαρμόζων, τὰς ἐφεξῆς τῶν καταλήψεων ποιεῖται, διὰ τῶν ἐν ταῖς γραμμικαῖς διέξεσιν ἐφόδων. Εἶτα πάλιν ἐπάνω ἔλεγε ἡ προκειμένης συντάξεως προηγεῖσθαι τὸ τὴν καθόλου σχέσιν ἰδεῖν ὅλης τῆς γῆς πρὸς ὅλον τὸν οὐρανόν, νῦν ὡς ἔφαμεν ἐρεῖ τίς ὄντιν ἡ εἰρημένην αὐτῷ καθόλου σχέσις, καὶ φησί. τὸ μὲν οὖν καθόλου ποιητὸν αὖ εἶη προλαβεῖν, ὅτι τε σφαιροειδὴς ὄντιν ὁ οὐρανός, καὶ φέρεται σφαιροειδῶς, καὶ ὅτι ἡ γῆ τῷ μὲν σχήματι καὶ αὐτὴ σφαιροειδὴς ὄντι πρὸς αἴσθησιν ὡς καθ' ὅλα μέρη λαμβανομένη, καθάπερ ἐπάνω ἐδείχθη, μετά τε τὴν θαλάττων καὶ τὴν ὀρῶν. ὡς καὶ τούτων ἐλαχίστας ποιουμένων ἐπανασάσεις πρὸς τὸ ὅλον τῆς γῆς μέγεθος, ἢ καὶ τὰ εἰρημένα μέρη, καθάπερ γὰρ ἐὰν σφαῖραν ἐξ ὕλης τινὸς κατασκευάσειεν, ποδιαίαν ἔχουσαν διάμετρον ψάμμιον προσπαγῆ, ἢ ἐλάχιστόν τι ποιὸν κοίλωμα ἐν αὐτῇ γένηται, ὃ καὶ ἐδείχθη καὶ τὸ σφαιροειδὲς σχῆμα ὡς πρὸς τὴν αἴσθησιν ἀλλοίωσιν, οὕτω καὶ ἡ γῆς, ὡς πρὸς τὴν σύγκρισιν τοῦ μεγέθους αὐτῆς, τά τε ὄρη καὶ τὰ ἐν αὐτῇ κοιλώματα ἐλάχιστα τυγχάνοντα, ἀναλλοίωτον αὐτῆς, ὡς πρὸς τὴν αἴσθησιν τὸ σφαιροειδὲς σχῆμα σωτηροῦσι. καὶ ἐπ' αὐτῶν δὲ τῶν μεγεθῶν ἡ γῆς καὶ τῶν μεγίστων ὀρῶν τὴν ἐξέτασιν ποιούμενοι, τὸ αὐτὸ δὴ καὶ ἐξόμεν ἐξῆς, ἐν ᾧ περὶ τούτου διαφαλαίω. διὸ καὶ σφαιροειδῆ αὐτὴν ὑποτίθεται, ἐκ τῶν περὶ αὐτὴν φαινομένων ἐναργῶν διαύτης αὐτῆς καταλαμβανομένης. ἔτι ἢ καὶ τῇ θέσει μέσην τοῦ παντὸς οὐρανοῦ, καὶ τῷ μεγέθει σημείου λόγον ἔχουσαν, οὐχ ὡς ἀμεγέθους αὐτῆς ὑπαρχούσης, ἀλλ' ὡς πρὸς τὴν σύγκρισιν ὡς ἔφαμεν τοῦ ὑπερμεγέθους ἀπ' αὐτῆς ἀφῃσμένου, διὰ τὴν τοῦ οὐρανίου σφαίρας. καθὼς καὶ Εὐκλείδης ἐν τοῖς ὀπτικοῖς φησίν, ὅτι ἕκαστον τῶν ὁρωμένων, ἔχει τι διάστημα, οὐ γινόμενον, οὐκέτ' ὀφθήσεται. ἐὰν δὲν ἐπινοήσωμεν ἀπὸ τινὸς ἀφῃσμένου ὁρᾶν τινὰ τὸ τῆς γῆς μέγεθος, διὰ τὴν ὑπερβολὴν τοῦ ἀποσήματος, ἐλάχιστον θεωρηθήσεται, ἢ καὶ φθείρεται τὴν αἴσθησιν. διὸ καὶ εἴρηκεν ὡς πρὸς τὸ ἀπόσημα, ἔτι δὲ καὶ τοῦτον αὖ εἶναι τῶν ὡς ἐν ἀρχῇ λόγῳ ὀφειλόντων προληφθῆναι, τὸ ἀκίνητον αὐτὴν μένειν καθ' οὗ εἰρήκαμεν τόπον, μὴ δ' ἦν τινα δὲν κίνησιν ποιουμένην. καὶ ἐπεὶ ὡς ἀρχὰς τὰ τοιαῦτα παραλαμβάνει, τοῦ ἢ ἀρχῶν δὲ δεῖν ἀναίτιους ποιεῖσθαι, φησί, περὶ τούτων ἢ ἑκάστου δὲ ὑπομνήσεως βραχέως διελευσόμεθα, ἢ ὑπομνήσεως εἰπών, καὶ οὐχὶ ἢ ἀναιτίους ἔξεως. διὸ καὶ ἐπακτικῶ καὶ δὲ ἀναιτικῶ κέχρηται λόγῳ. διαλαμβάνει δὲ περὶ τούτων, ἀπὸ κοινῶν γνοιῶν, καὶ φιλῶν τινῶν παρατηρήσεων, οὐχὶ ὡς ἀναιτίους ὡς ἔφαμεν τῶν ἀρχῶν ποιούμενος, ἀλλ' ὑπομιμνήσκων, ὅτι αὗται αἱ λαμβανόμεναι αὐτῶν ἀρχαί, οὐχὶ τυγχάνοντως καὶ ἀοικείως λαμβάνονται, ἀλλ' ὡς ὅτι μάλιστα ἁρμοζόντως τῇ πρὸς τὰ φαινόμενα συμφωνίᾳ. ὁ αὐτὸς γὰρ τρόπος ἁρμόττει τοῖς περὶ ἀρχῶν λόγοις.

ὍΤΙ ΣΦΑΙΡΟΕΙΔΏΣ Ὁ ΟὐΡΑΝΌΣ ΦΈΡΕΤΑΙ.

Ποιησάμενος τὴν ἀπαρίθμησιν τοῦ καθόλου καὶ μέρους τῆς ἀστρονομικῆς συντάξεως ὀφειλόντων προληφθῆναι, καὶ δηλώσας ὅτι πρὸ πάντων χρὴ προλαβεῖν αὐτόν, τὸ σωματοειδῆ), ὅτι τε σφαιροειδὴς ὄντιν ὁ οὐρανός, καὶ ὅτι σφαιροειδῶς φέρεται, γνωκῶθαι καθ' ὃν εἰρήκαμεν τρόπον τὴν περὶ τούτων ὑπόμνησιν μέλλων ποιήσασθαι, ἐπέσκεψε τὸ προτεθὲν κεφαλαῖ), ὅτι σφαιροειδῶς ὁ οὐρανὸς φέρε), πρὸ λιπὼν ὅτι καὶ σφαιροειδὴς ὄντιν. ἔοικε ἢ ἐπεὶ ἀπὸ τοῦ παντὸς σφαιροειδὲς φορᾶς τὴν ὑπόμνησιν ποιεῖται, τὸ σφαιροειδῆ αὐτὸν εἶναι, ἀπὸ ταύτης καὶ τῆς ἀπογραφῆς τὸ κεφαλαίου ποιεῖσθαι. ἐρεῖ δὲν πρότερον πόθεν εἰς γνοιαν ἔλθομεν οἱ παλαιοὶ περὶ τοιαύτης τοῦ παντὸς φορᾶς. καὶ φησίν ὅτι, ἑώρων γὰρ τόν τε ἥλιον καὶ τὴν σελήνην καὶ δὴ ἄλλους ἀστέρας τούς τε ἀπλανεῖς καὶ πλανωμένους καὶ πᾶλλήλων κύκλων φερομένους. τὸ μὲν οὖν καὶ κύκλων φερομένους, ὡς ἤδη γνοιαν αὐτῶν εἰληφότων ἀπὸ τοῦ σωιεχοῦς ὧν

τὰ οὐράνια διατανόησιν, ⁊ μάλισα ἀπὸ τ ἀεὶ φανερῶν ἄστρων, ὅτι σφαιροειδῶς φέρονται. διὰ
θῶς δὴ ἐπάγων ἔφη σι, Μάλισα δ' αὐτὸς ἡγεμὼν τῆς σφαιρικῆς γνώσεως, ἡ τ ἀεὶ φανερῶν
στρων περιστροφή, κυκλοτερὴς θεωρουμένη, ⁊ τὰς ἑξῆς. τὸ γὰρ ⁊ ἡμ παραλλήλων κύκλων, ὧν ἡ
ἡλίου δὴ σελήνης ⁊ τ ε πλανωμένων, ὅτι ἐκ τ τ φαινομένων ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς πρώτης
φορᾶς φερόμενοι, ὅτως αὐτοῖς ἐφαίνοντο, ὡς πρὸς ἄισθησιν τῶν ⁊ ἡμ μίαν ἑκάστην ἡμέραν θε
ωρίας ἀνεπαισθήτως γινομένης ἐν ἴσοις τῷ διαφορᾶς τ πρὸς ἀλλήλους, πρὸς τὰς ἕλικας τὰς ἡμ
τὸ ἀληθὲς ὑπ' αὐτῶν γραφομένας, ἔκ τε ⁊ αὐτῶν κινήσεως, δὴ ἐκ ⁊ τοῦ φαινομένης
αὐτῶν περιφορᾶς. ⁊ γὰρ τῶν ὅλων πρώτης φορᾶς ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς εἰς τὰ προ-
γούμενα γινομένης, ⁊ δὲ τῶν ἀστέρων κινήσεως ἀπὸ δυσμῶν ἐπὶ ἀνατολὰς δὴ εἰς τὰ ἑπόμε-
να θεωρουμένης, ⁊ ταύτης μὴ δὲ ἡμ παραλλήλων τινῶν τοῖς πόλοις ⁊ σφαίρας ἐν τῇ περι-
φορᾷ γραφομένων, ἀλλὰ ἡμ λοξῶν, τούτοις συμβήσεται ἕλικας αὐτοὺς γράφειν, ἔκ ⁊ σωμα-
φοτέρων ὑπεναντίας κινήσεως. νενοήσθω γὰρ ἡ σφαῖρα, ⁊ ἐν αὐτῇ μεσημβρινὸς μὲν ὁ αβγδ,
πόλοι δὲ αὐτῆς τὰ β, δ σημεῖα. ⁊ ἔσω μέγιστος τῶν παραλλήλων τῶν τοῖς πόλοις ⁊ σφαίρας
ἐν τῇ περιφορᾷ γραφομένων, ὁ αετ κύκλος, λοξὸς δὲ ἔσω πρὸς
ὀρθὰς ὁ ζεθγ. εἰὰν δὴ νοήσωμεν τινὰ τῶν πλανωμένων ἀστέ-
ρων ἡμ τὸ θ, ⁊ τῶν ὅλων περιφορᾶς ποιεῖ σὺν β δ πόλους
ὁμαλῶς ἀποτελουμένης, εἰ μὲν ὁ ἀστὴρ ὑπὸ τὸν θ μένει, δῆλο-
νότι γράψει κύκλον παραλλήλον τῷ αετ. ἐπεὶ δὲ ἐν ᾧ
ἡ ⁊ σφαῖρας στροφὴ ἀποτελεῖται, ⁊ ὁ ἡμ τὸ θ ἀστὴρ διανεῖται,
⁊ γίνεται λόγου ἕνεκεν κατὰ τὸ κ, γράψει ἅρα γραμμὴν
ἐκ ⁊ περιφορᾶς ὡς τὴν θλκ, καὶ πάλιν ἕως ἑτέρα περιφο
ρὰ γένηται, διανηθεὶς καὶ γενόμενος ὡς κατὰ τὸ ν, γράψει
καὶ ἑτέραν γραμμὴν, ὡς τὴν κμν, ἥτις ἔσαι ἡ καλουμένη ἕ-



λιξ. ὑπὸ δὲ τῶν ἀπλανῶν, ἀληθέστερον ἂν εἴη μᾶλλον τὸ λεγόμενον, ὡς ὅτι ἑώρων αὐτοὺς κα-
τὰ παραλλήλων κύκλων φερομένους, ἀλλὰ τὸ τούτων ἰδίαν κίνησιν βραχεῖαν καὶ ἀνε-
παίσθητον εἶναι παντελῶς. δείκνυντ γὰρ ἐν τοῖς ρ ἔτεσι μίαν μοῖραν ἐγγισα εἰς τὰ ἑπόμε-
να κινούμενοι κατὰ λοξῶν ὁμοίως κύκλων πρὸς τ ἰσημερινόν. Καὶ ἀρχομένους μ ἀναφέ-
ρεσθαι καθ' ὑπερβολὴν ἀπὸ τοῦ ταπεινοῦ καὶ ὥσπερ ἐξ αὐτῆς ⁊ γῆς, μετεωριζομένους δὲ κατὰ μι-
κρὸν εἰς ὕψος. Καίτοι ὄντων τ ἀπὸ ⁊ γῆς ἐπὶ τ οὐρανὸν διαστημάτων, ταπεινὸν ἐκάλε-
σε τὸν πρὸς τῇ ἀνατολῇ τόπον. ταπεινὸν οὐχὶ πρὸς τὸ ἀπόστημα, ἀλλ' ὡς πρὸς ἡμᾶς. ἐπεὶ καὶ
τὸ μὲν πρὸς τῇ κεφαλῇ αὐτοῦ ἕκαστος αὐτῶν καλεῖ, τὸ δὲ πρὸς τοῖς πόδας κάτω. καὶ ἔστι τὸ πρὸς
τοῖς ποσὶ τὸ πρὸς τοῦ ὁρίζοντι ⁊ ᾧ ὄντι ἡ ἀνατολή. ὅθεν καὶ τὸν μετεωριζομένους κατὰ μι-
κρὸν εἰς ὕψος προσεθηκεν, ἐπεὶ καὶ τάξει οὕτω φέρονται ἀπὸ τοῦ ὁρίζοντος, ὡς ὑπὸ τὸν μεσου-
ρανοῦν, ὃ λοιπὸν ἑκάστῳ ὡς πρὸς τῇ κεφαλῇ καὶ αὐτῷ τυγχάνειν. εἶτα πάλιν ἀναλόγως ἀπὸ
τούτου πρὸς τὴν δύσιν, καὶ ὥσπερ εἰς τὸ κάτω δὴ πρὸς τοῖς πόδας, ἕως οὗ ⁊ ταῖς ὄψεσι τ
τηρούντων ἀφανεῖς γένονται. ἔτι δὲ ⁊ τινὰ χρόνον μένοντος αὐτοῖς ἀφανεῖς. ὥσπερ ἀρχὴν
πάλιν ἑτέραν ἐλάμβανον τοῦ ἀνατέλλειν καὶ ὑπὲρ γῆν ἀκολούθως φαίνεσθαι. ἔφησε δὲ ὥ-
σπερ ἐξ ἄλλης ἀρχῆς αὐτοὺς φαίνεσθαι, ἤτοι ἀνατέλλειν, διὰ τὸν ἀφανισμὸν αὐτῶν διανο-
ήσειν τὴν φαινομένην τῆς φορᾶς αὐτῶν συνέχειαν. τοὺς δὲ χρόνους τούτους καθ' οὓς φα-
νεροὶ ἐγίνοντο καὶ ἀφανεῖς, καὶ ἔτι τοὺς τόπους ἀφ' ὧν ἀνετέλλόν τε καὶ ἔδυνον τεταγμέ-
νως, καὶ ὁμοίως τὰς ἀναποδίσεις λαμβάνοντας. τοὺς μὲν οὖν χρόνους ὑδρίοις καταμέτρουν
τον. τοὺς αὐτοὺς καθ' ἑκάστην δὲ ἐπιλογισμῶν καταλαμβάνον, τῆς τε ὑπὲρ γῆν φορᾶς, ⁊
τοῦ αὐτοῦ τῆς ὑπὸ γῆν τῶν ἀπλανῶν ἀστέρων τῆς συναμφοτέρου ὑπὲρ γῆν φορᾶς τξ
χρόνων συναγομένης. καὶ τοὺς τόπους δὲ τοὺς τοῦ ὁρίζοντος ἀνατολικοὺς καὶ δυτικούς,
καὶ ἔτι τοὺς τοῦ μεσημβρινοῦ, τοὺς αὐτοὺς πάλιν μένοντας πρὸς ἄισθησιν καταλαμβά-
νοντο. οὐκέτι δὲ καὶ τῶν ἡλίου καὶ σελήνης καὶ τῶν πέντε πλανωμένων οἱ αὐτοὶ χρόνοι
καὶ τόποι καταλαμβάνοντο, ἀλλὰ τάξει τινὶ ἡμ τ ἀναποδίσεσιν ἀμειβόμενοι. Μαλισα
δὲ αὐτοὺς ἦγεν εἰς σφαιρικὴν γνῶσιν, ἣ τῶν ἀεὶ φανερῶν ἄστρων περιστροφὴ, κυκλοτερὴς θε-
ωρουμένη, καὶ πόλοι κέντρον ἔχη τὸ αὐτὸ περιπολουμένη. εὕρων γὰρ ἀστέρας τινὰς περὶ τὸν
Βόρειον πόλον μήτε ἀνατέλλοντας μήτε δυνοντας, ἀλλὰ πάντοτε ὑπὲρ γῆς φαινομένους,
καὶ ἐκ τῆς περιφορᾶς κύκλους γράφοντας, ἐξ ὧν μάλισα γνώσεσθαι ἔστιν τὴν κί-
νησιν, ὅσῳ μὲν αὐτῶν, ἐλάττονας κύκλους γράφειν, τοὺς δὲ μείζονας. ⁊ φαίνεσθαι τὸν μείζο
να κύκλον γράφοντα ἐκ ⁊ περιφορᾶς, ὥσπερ ἐφαπτόμενον τῆς τοῦ ὁρίζοντος περιφερείας.

καὶ

καὶ ἐμπεριλαμβάνοντα ἐφ' ἑαυτοῦ γραφομένῳ κύκλῳ, πάντα τὰ ἀεὶ φανερὰ ἀστρα. τὸν δὲ ὑπό τινος ἀστέρος γραφομένου ἐλαχίστου κύκλου, ὥσπερ μέσον τι σημεῖον ἀκίνητον. ὅσπερ δὲ ἐγίνετο ὥσπερ ληγτρον τῶν ἐκ τῆς περιφορᾶς τῶν ἀεὶ φανερῶν ἀστέρων γραφομένων κύκλων. ληγτρον δὲ εἶπε καὶ οὐχὶ πόλον. ὥσπερ κοινῇ κὴ σαφεστέρᾳ γνοίᾳ καταχρόμενος. ἀναγκαῖον οὖν ἐν ἡγεῖσθαι, ὅσπερ τὸ σημεῖον κατὰ τὸν πόλον τῆς σφαίρας, ἀκόλουθον γὰρ ἐν λοιπὸν κὴ λέγειν σφαῖραν. τῶν μὴ μᾶλλον αὐτῷ πλησιαζόντων, κὴ μικροτέρων κύκλων φερομένων, τῶν δὲ ἀπωτέρω, πρὸς τὴν τῆς διαστάσεως ἀναλογίαν μείζονας κύκλους γὰρ τῇ περιγραφῇ ποιοῦντων, καὶ διατοῦτο σφαιρικὸν σχῆμα ἐκτυποῦντων, ἕως ἂν καὶ ἡ ἀπόστασις καὶ μέχρι τῶν ἀφανιζομένων φθάσῃ. λοιπὸν γὰρ οἱ ἀπώτερον τῶν μεγίστων τῶν φανερῶν παράλληλοι κύκλοι, ἐτέμνοντο ὑπὸ τοῦ ὁρίζοντος, καὶ οἱ τούτους γράφοντες ἀστέρες, ἀνέτελλόν τε καὶ ἔδυνον. καὶ τούτων ὁ μὲν πλησιέστερον τοῦ μεγίστου τῶν ἀεὶ φανερῶν, ἀνατέλλων τε κὴ δυόμενος, ἐλάττονα χρόνον αὐτοῖς ἐποιεῖ ἀφανὴς γινόμενος τοῦ ἀπωτέρου, καὶ οἱ ἑξῆς ἀναλόγως, ὡς κὴ τὰ ὑπὸ γῆν τμήματα τῶν παραλλήλων κύκλων, τὰ ἔγγιον τοῦ μεγίστου τῶν ἀεὶ φανερῶν τῶν ἀπωτέρω σωτήριαν μείζονα ἢ ὅμοια τυγχάνειν, ὅπερ ἐπὶ σφαιρικῷ σχήματι δέδεικται ἀρχόμενον, καθὰ καὶ Θεοδόσιος ἐν τοῖς σφαιρικοῖς τῶν σφαιρικῶν ἀπέδειξεν. ὅτι ἐὰν ἐν σφαίρᾳ μέγεθος κύκλος παραλλήλους τινὰς κύκλους τῶν ἐν τῇ σφαίρᾳ μὴ διὰ τῶν πόλων τέμνῃ, ὥσπερ ὁ ὁρίζων τῶν ἐγκλίσεων οὐ παραλλήλους τῷ ἰσημερινῷ, τῶν ἀπολαμβανομένων περιφερειῶν, μείζονος ἢ ὁμοίας ἔσονται ἀεὶ αἱ ἔγγιον τοῦ φανεροῦ πόλου τῶν ἀπώτερον. ὡς τῆς μὲν ἀρχῆς τοῦ σφαιρικοῦ εἶναι τὸ σχῆμα τοῦ πανὸς, ἐκ τῶν τοιούτων ἐννοιῶν αὐτοὺς λαβεῖν. ἔτι δὲ καὶ ἐκ τῆς συνεχείας παρατηρήσεως τοῦ θεωρεῖν, καὶ τὰ λοιπὰ πάντα τοῦ τὰς διανήσεις τῶν ἀστέρων φαινόμενα, συμφωνα διατελαμβάνοντο τῷ σφαιρικῷ σχήματι, μαχόμενα δὲ τοῖς ἑτέρου τοῦ τρόπου. φέρεσθαι γάρ τις ὑποθοῖτο τὴν τῶν ἀστέρων φοράν ἐπ' εὐθείας γινομένην ἐπ' ἄπειρον φέρεσθαι καθάπερ τισὶν ἔδοξεν. Αὕτη ἡ λέξις ἐπικρατὴς μὲν ὄσιν, φανερῶς δὲ μαχομένη τοῖς φαινομένοις. ἀπορήσειε γὰρ ἄν τις ἐπιζητῶν, ὃν τρόπον ἐπ' εὐθείας καὶ ἐπ' ἄπειρον ἀπιόντα ἄστρα ἠδύνατο ὑποφέρειν, καὶ ὥσπερ ἀπ' ἄλλης ἀρχῆς ὡς ἔφαμεν καθ' ἑκάστην περιφερόμενα θεωρεῖσθαι. πῶς γὰρ ἀναπέμπειν ἠδύνατο τὰ ἄστρα ἐπ' ἄπειρον ὁρμώμενα. ἢ γὰρ τὸν ἄπειρον οὐ πόλος διεξέρχοντο, εἴπερ ἀνέκαμπτον, ἢ φαίνεσθαι ἡμῖν αὐτὰ ἐν ἀκόλουθον ἀνακάμπτοντα. ἔτι δὲ καὶ κατ' Εὐκλείδην ἐν τοῖς ὀπτικοῖς, ἔκαστον τῶν ὁρωμένων, ἔχει τι μέγεθος διαστήματος, οὗ γενομένου, οὐκέτι ὀφθήσεται. καὶ πάλιν τῶν ἴσων μεγεθῶν καὶ ἐν ἴσῃ ἐκ τῆς αὐτῆς ὄντων, τὰ ἐκ πλείονος διαστήματος ὁρώμενα, ἐλάττονα φαίνεται, ὡς συμβαίνειν ἐπ' εὐθείας τῶν ἀστέρων ἀπιόντων, τά τε μεγέθη αὐτῶν καὶ τὰ διαστήματα τὰ πρὸς ἄλληλα μείζονα ὄντα, ἐλάττονα φαίνεσθαι, καὶ ἐκ τῆς συνεχοῦς ἐπιπλέον ἀφιστάσεως ἐν μικρὸν τῶν μεγεθῶν ἐλαττουμένων, ἀφανῆ ἡμῖν αὐτὰ γενέσθαι, ἐκ τῆς οἰκείας ἑκάστου ἀφιστάσεως, ὅπερ τοὐναντίον ὁρῶμεν συμπίπτειν ἐκ τῶν φαινομένων. ὅθεν γὰρ διανοοῦσι κατ' αὐτοὺς ἐκ τῆς πλείονος ἀποστάσεως ἀφανῆ γίνεσθαι, ἐκεῖθεν μᾶλλον μείζονα τὰ μεγέθη αὐτῶν ὁρῶμεν, καὶ ἀνοικείως τῇ ἐπ' εὐθείας φορᾷ ἀφανιζόμενα. τὰ γὰρ ἐπ' εὐθείας ἀπιόντα μεγέθη, κατὰ μικρὸν ὡς ἔφαμεν ὁρῶμεν μειούμενα ταῖς ὄψεσι, μέχρις ἂν καὶ τέλεον ἀφανισθῶσι. καὶ οὐχὶ κατὰ μέρος γὰρ βραχεῖ χρόνῳ ἀποτεμνόμενά τε καὶ ἀφανιζόμενα, ὅπερ ὁρῶμεν γὰρ τοῖς ἀφανισμοῖς ἢ κατάλυσι τῶν ἀστέρων, ὡς ἂν ἐκ τῆς ἐπιπροσθήσεως τῆς ἐπιφανείας τῆς γῆς ἢ μέρος αὐτὰ ἀφανῆ γίνεσθαι. Ἀλλὰ μὴν καὶ τὸ ἀνατέλλεσθαί τε αὐτὰ ἀπὸ τῆς γῆς καὶ πάλιν εἰς αὐτὴν ἀποσβέννυσθαι, τῶν ἀτοπωτάτων ἂν φανείη παντελῶς. ἔτι δὲ τὸ ἀνατέλλεσθαι καὶ σβέννυσθαι τὰ ἄστρα κατ' Ἡράκλειτον, βύθιον ἂν εἴη παντελῶς. ἵνα γὰρ συγχωρήσωμεν τὴν τοσαύτην αὐτοῖς ἀμεταπτωτον τάξιν, τῶν τε μεγεθῶν καὶ τῆς ποσότητος τουτέστι καὶ τὸ πλήθους τῶν ἐν ταῖς μορφώσεσι κατασήμων τέρων, ἔτι τε καὶ διαστάσεων καὶ σχηματισμῶν ὧν ἔχουσι πρὸς ἀλλήλους, καὶ τῶν τόπων ἐφ' ὧν ἀνατέλλουσι καὶ μεσουρανοῦσι καὶ δύουσι, καὶ τῶν χρόνων ὧν ποιοῦνται ὑπὲρ γῆν καὶ ὑπὸ γῆν μένοντες, καὶ τῶν προανατολῶν ἢ μεσουρανήσεων ἢ προκαταδύσεων ὧν ποιοῦνται πρὸς ἀλλήλους, οὕτως εἰκῇ καὶ ὡς ἔτυχεν ἀποτελεῖσθαι, καὶ συγχωρήσαιμεν αὐτοῖς λέγειν τὰ μὲν ἀνατολικὰ μέρη ἀναπτικῆς εἶναι φύσεως, τὰ δὲ δυτικὰ σβεστικῆς, σωάγειν γίνοσθαι τῶν ἡμῶν τὰ πρὸς τὰς ἀντιπόδας, τὸν αὐτὸν τόπον τῆς γῆς καὶ ἀναπτικὸν εἶναι καὶ σβεστικόν. ἀεὶ γὰρ ἡμῶν ἀνατολαὶ ἐκείνων δύσεις εἰσί, καὶ ἀεὶ ἐκείνων δύσεις, ἡμῶν ἀνατολαί. καὶ ἔτι συμβήσεται τὰ ἄστρα τοῖς μὴ πάνυ ἀνημμένα, ἢ ἐσβεσμένα τυγχάνειν, τοῖς δὲ μήπω. τὰ γὰρ πρὸς τοῖς ἀνατολικωτέροις ἀνατέλλοντα, οὐδέπω παρὰ τοῖς δυτικωτέροις ἀνατέλλει. ὁμοίως καὶ τὰ

τὰ πλευρὰ κατὰ τῆς μεσημβρινῆς γνώμονος, ἔσονται καὶ πρὸς ὀρθὰς τῷ ὁρίζοντι ἐν τῷ τοῦ μεσημβρινοῦ ἐπιπέδῳ. ἐὰν οὖν οὗ μείζονας ἐπιζεύξωσι τοῖς κανόσι γραμμὰς μολίβδῳ μὲν μείζονα ὡς τὴν ἐφεδραν, ἔσονται καὶ ὀρθοὶ πρὸς μὲν ὁρίζοντα, καὶ ἐν τῷ τοῦ μεσημβρινοῦ ἐπιπέδῳ. δηλώσας οὖν ἡμῖν τὴν κατασκευὴν καὶ τὴν θέσιν, ἐξῆς ὡς τὴν χρῆσιν μεταβαίνει καὶ φησί. Τοιαύτης δὴ τῆς θέσεως γενομένης καὶ τὰ ἐξῆς. Τοιαύτην δὴ τὴν θέσιν τοῦ ὀργάνου εἰληφότα, ἐτηροῦμεν τὴν πρὸς ἄρκτους καὶ μεσημβρίαν τοῦ ἡλίου παραχώρησιν, περί τε τὰς θερινὰς τροπὰς, τουτέστι τοῦ ἡλίου πρὸ τῆς ἀρχῆς τοῦ καρκίνου γινομένου, καὶ πρὸ τὰς χειμερινὰς τροπὰς τοῦ ἡλίου πάλιν πρὸ τὴν ἀρχὴν τοῦ παρβόνου τυγχάνοντα, ἐν αὐτῇ τῇ μεσημβρινῇ, τοτέσιν ἐν ᾗ ὥρᾳ, ὅτε καὶ ἄσκιος ἐγίνετο ὁ μεσημβρινός, παραφέροντα τὸν ἥλιον τῶν κύκλων, ἕως τὸ ἐπάνω πυκνώτιον τὸ κατὰ διάμετρον ἑαυτοῦ καὶ κάτω πρὸς ἡμᾶς σκιάσῃ. τότε γὰρ ἡ διὰ μέσου τῶν πυκνωτίων νοουμένη εὐθεῖα ἐκβαλλομένη, ἐπὶ τὸ τοῦ ἡλίου κέντρον πεσεῖται. πρὸ αὐτὰς οὖν ὡς ἔφαμεν τὰς τροπὰς ὄντος τοῦ ἡλίου, διὰ τῶν ἑξῆς ἡμερῶν τὴν τοιαύτην παρατήρησιν ποιούμενοι, ἐτηροῦμεν ἕως ἂν καταλάβωμεν μὲν ἥλιον ἀπὸ τοῦ βορειοτάτου ἢ νοτιωτάτου πέρατος τρεπόμενον, καὶ ὥσπερ ἐπὶ τοῦ αὐτοῦ σημείου μένοντα τοῦ μεσημβρινοῦ, διὰ τὸ πρὸ τὰ τοιαῦτα σημεῖα μᾶλλον αὐτὸν ἐγχρονίζειν ἐπὶ τοῦ αὐτοῦ. καὶ λαμβάνοντες τὸ κατ' ἐκεῖνο τὸ πέρας τοῦ ἡλίου παραχωρήσεως σημεῖον, εὑρίσκομεν πόσα τμήματα ἀφίστατο ἀπὸ τοῦ κατὰ κορυφὴν ἐπὶ τὸ βορειότατον πέρας ἐπὶ τοῦ μεσημβρινοῦ, δηλοῦντος ἡμῖν τοῦ γνωμονίου διὰ τὴν τοιοῦτον, ἐκ τῶν ἀπολειφθεισῶν διαιρέσεων τοῦ μείζονος κύκλου μεταξὺ τοῦ τε γνωμονίου τοῦ ἐπὶ τοῦ πυκνωτίου καὶ τοῦ κατὰ κορυφὴν σημείου, τουτέστι τοῦ κατὰ διάμετρον τοῦ ἐπιπέδου ἐφαπτομένου. ἐπεὶ δὲ ἡ οὕτως ἐπιζευγνυμένη εὐθεῖα πρὸς ὀρθὰς γωνίας γίνεται τῷ τοῦ ὁρίζοντος ἐπιπέδῳ, ἥτις καὶ ἐπὶ τὸ κατὰ κορυφὴν πίπτει, ὅ ὅτι καὶ ἐπ' αὐτοῦ τοῦ μεσημβρινοῦ. τηρήσαντες οὖν ἀμφοτέρας τὰς ἐπὶ πλάτος τοῦ ἡλίου παρόδους τῷ βορειοτάτῳ καὶ νοτιωτάτῳ, ἐφ' ὧν μὲν βορειότερος ὁ ἥλιος ἐγίνετο τοῦ κατὰ κορυφὴν, τουτέστιν ἐφ' ὧν οἰκήσεων τὸ ἔξαρμα ἔλαττόν ἐστι τῶν καταλαμβανομένων τῆς τοῦ διὰ μέσων ἀπὸ τοῦ ἰσημερινοῦ ἐγκλίσεως μοιρῶν κγ νά, σωτιθέντες ἀμφοτέρας τὰς ἀπὸ τοῦ κατὰ κορυφὴν ἐπὶ τὰ βορειότατα καὶ νοτιώτατα τῶν γνωμονίων ἀποστάσεις, τῷ ὅλῳ παραλαμβάνομεν γινομένῃ μεταξὺ τῶν τροπικῶν. ἐφ' ἃ δὲ ὁ ἥλιος βορειότατος γινόμενος ἐπὶ αὐτοῦ τοῦ κατὰ κορυφὴν ἐτύγχανεν, λαμβάνοντες μόνῳ τῷ ἀπὸ τοῦ κατὰ κορυφὴν ἐπὶ τὸ νοτιώτατον πέρας τοῦ ἡλίου παραχώρησιν, ταύτῃ πάλιν ἐλέγομεν εἶναι μεταξὺ τῶν τροπικῶν. ἐφ' ἃ δὲ βορειότατος ὁ ἥλιος γινόμενος, νοτιώτερος τοῦ κατὰ κορυφὴν ἐτύγχανεν, ἀπὸ τῆς νοτιωτέρας αὐτοῦ κατὰ κορυφὴν ἀποστάσεως, ἀφαιροῦντες τῷ βορειοτέρᾳ, τῷ λοιπῷ ἐλέγομεν εἶναι μεταξὺ τῶν τροπικῶν, ὧν δίχα τεμόντες, ἔχομεν τὸ κατὰ μὲν ἰσημερινὸν σημεῖον. καθόλου δὲ ἐπὶ πασῶν τῶν οἰκήσεων ὅσον ἀπέχει τοῦτο τὸ τῆς τοιαύτης διχοτομίας σημεῖον, ὅ ὅτι κατὰ μὲν ἰσημερινὸν τὸ κατὰ κορυφὴν, τοσοῦτον ἔσαι καὶ τὸ ἔξαρμα τῆς οἰκήσεως, τοῦ τοιούτου κατὰ κορυφὴν σημείου γινομένου, ἐν μὲν ἰσημερινῷ ὑπὸ μόνης τῆς ὀρθῆς σφαίρας. ἵνα δὲ καὶ ἐνταῦθα φανερὰ ἡμῖν γένηται διὰ τῶν γραμμῶν τὰ λεγόμενα, ἐκκείσθωσαν οἱ αβ γδ κύκλοι, ἐχόντων τὴν εἰρημένην θέσιν. ἐν κορυφὴν ἔστω τὸ α, ἐν δὲ βόρεια μὲν ἔστω τὰ πρὸς τῷ ε, νότια δὲ τὰ πρὸς τῷ β, καὶ βορειοτάτου γινομένου τοῦ ἡλίου, σκιαζέτω τὸ ὑπεράνω πρισματιον τὸ ὑποκείσθω κατὰ τὴν ε θέσεως, νοτιωτάτου ὄν ἐν τῷ ζ, ἐπὶ τὸ β. ἐξόμεν ἄρα καὶ ἐκ τῆς τοῦ λοιποῦ διαιρέσεως τὴν εαβ ἀπὸ τοῦ βορειοτάτου ἐπὶ τὸν νοτιώτατον τοῦ ἡλίου παραχώρησιν, ἥτις γίνεται μεταξὺ τῶν τροπικῶν, συγκειμένην δηλαδὴ ἐκ τῶν αε καὶ αβ ἀπὸ τοῦ κατὰ κορυφὴν ἐπὶ τὸ βορειότατον καὶ νοτιώτατον. καὶ ὁμοίως ἐὰν τὸ πυκνώτιον κατὰ τὸ α κατὰ κορυφὴν βορειότατον γνόμονα σκιάσῃ τὸ κατὰ διάμετρον νοτιώτατον γνόμονα κατὰ τὸ θ, ἐξόμεν πάλιν τὴν αθ ἐπιζητουμένην περιφέρειαν. ἐὰν δὲ τὸ μὲν βορειότατον πέρας κατὰ τοῦ β γένηται, τὸ δὲ νοτιώτατον ἐν τῷ κ, ἀφελόντες ἀπὸ τῶν αε τὴν αβ, ἐξόμεν λοιπὴν τὴν βε ἐπιζητουμένην ὁμοίως περιφέρειαν, ὧν δίχα τεμόντες ἐξόμεν τὸ ἐν τῷ ἰσημερινῷ σημεῖον. Ὅτι δὲ ἡ



ἀπὸ τοῦ διὰ κορυφῶν ἀπόδοσις τοῦ ἰσημερινοῦ ὁ ἐξάρμα περιέχει τῆς οἰκήσεως ἐφ' ἧς αἱ ποιούμεθα τὰς τηρήσεις, οὕτως ἡμῖν ἔσται δῆλον. ἔστω γὰρ μεσημβρινὸς κύκλος ὁ αβγ. καὶ ἐπ' αὐτοῦ τὸ διὰ κορυφῶν σημεῖον ὁ α, ὁρίζων δὲ ὁ βγ. ἐπεὶ οὖν ὧν πάσης οἰκήσεως ὁ πόλος τοῦ ὁρίζοντος ὁ διὰ κορυφῶν ὅδε σημεῖον, ἡ αγ ἄρα τεταρτημορίου ὅδε. ἔστω δὲ καὶ ἰσημερινὸς ὁ δε, πόλος δὲ αὐτοῦ ὁ ζ. καὶ ἡ δζ ἄρα τεταρτημορίου ὅδε τοῦ αὐτοῦ μεγίστου κύκλου. ἴση ἄρα ὅδε ἡ αγ τῇ δζ. καὶ κοινῆς ἀφαιρεθείσης τῆς αζ, λοιπὴ ἡ αδ λοιπῇ τῇ ζγ ὅδε ἴση. ὧν ἡ μὲν αδ ὅδε ἡ ἀπὸ τοῦ διὰ κορυφῶν τοῦ ἰσημερινοῦ, ἡ δὲ ζγ ἀπὸ τοῦ ὁρίζοντος τοῦ πόλου, ἥτις ὅδε τοῦ ἡζαρματος, ἡ ἄρα ἀπὸ τοῦ διὰ κορυφῶν τοῦ ἰσημερινοῦ, ἴση ὅδε τῷ ἀπὸ τοῦ πόλου ἡζάρματι. Ἡ μὲν οὖν τοῦ διά τῶν λοιπῶν ὀργάνου κατασκευὴ τε καὶ θέσις ἔτι τε καὶ χρῆσις, τοῦτον ἔχει τὸν τρόπον. ἑξῆς δὲ περὶ τῶν αὐτῶν καὶ τοῦ ἑτέρου ὀργάνου διαληψόμεθα, ὅπερ ἐρεῖ καὶ δυσχερεστέρου εἶναι πρὸς τὴν ἐπιζητουμένην μετάληψιν. φησὶν οὖν, χρὴ κατασκευάσαι πλινθίδα ξυλίνην ἢ καὶ λιθίνην τετράγωνον μὲν κατὰ τὸ μῆκος καὶ τὸ πλάτος, ἐλαττόνα δὲ τὴν διάστασιν ἔχουσαν κατὰ τὸ βάθος, ὡς εἶναι τὸ σχῆμα αὐτῆς στερεὸν παραλληλεπίπεδον, ἔχον τὰς μὲν τέσσαρας ἐπιφανείας ἐκ παραλληλογράμμων ἑτερομήκων. τὰς δὲ λειπούσας β καὶ ἀπεναντίον τετραγώνους. ἔτι δὲ καὶ ἀδιαίρετον καὶ σύμμετρον τῷ μεγέθει πρὸς τὸ δώδεκα ἐσάναι κατὰ μῆκος. μὴ πάνυ σεινῶν γινομένων τῶν ἑτερομήκων ἐπιπέδων, πρὸς τὸ ἐφαίνεσθαι αὐτὴν ἐσάναι δώδεκα, ἀποτεταμένην ἔχουσαν μίαν τῶν τετραγώνων πλευρῶν, πρὸς κανόνα ἀπειργασμένην, ὡς ἐπὶ τῆς ὑποκειμένης καταγραφῆς τὴν αβγδ. ἐφ' ἧς ἐπὶ μιᾶς τῶν γωνιῶν ἀποσήσαντες βραχύ, λαμβάνομεν σημεῖον οἷον τὸ ε. ᾧ μέσῳ χρησάμενοι, καὶ διαστήματι συμμέτρῳ, γράφομεν κύκλου τεταρτημόριον τὸ ζη. ἐπιζεύξαντες ἀπὸ τοῦ ε δύο εὐθείας πρὸς ὀρθὰς ἀλλήλαις τὰς τὸ τεταρτημόριον τοῦ ὅλου κύκλου ἀπολαμβανούσας ὡς τὰς εζ εη, καὶ διελόντες τὴν ζη περιφέρειαν εἰς ιη τμήματα ἴσα, καὶ ἃ μεταξὺ χωρίεχει ἑξήκοντα, ἑνὶ μιᾶς τῶν εὐθειῶν τῶν περιεχουσῶν τὴν γωνίαν, τῆς πρὸς ὀρθὰς τῷ τοῦ ὁρίζοντος ἐπιπέδῳ τιθεμένης, καὶ ᾗ τῷ νοτιωτέρῳ μέρει τοῦ ἐπιπέδου λαμβανομένης ὡς αὐτός φησιν, τῆς μελλούσης ὀρθῆς τε ἔσεσθαι πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον, καὶ πρὸς μεσημβρινὸν τὴν θέσιν ἕξειν, γνωμόνιον θήσομεν κυλινδρικόν. πρὸς τὸ ἀπὸ τούτου λαβεῖν τὴν ἀπὸ τοῦ ἡλίου πίπτουσαν σκιάν. ἀναγκαίως οὖν τῷ τοῦ νοτιωτέρου μέρους τοῦ ἐπιπέδου χρὴ εἶναι τὸ κυλίνδριον, ἵνα αἱ ἀκτῖνες ᾗ τῷ ἐπιπέδῳ πίπτωσι πρὸς τὰ βόρεια αὐτοῦ ἐμπίπτωσι, ὡς τῶν πλείονα ἐχουσῶν τὸ ἔξαρμα τῶν τῆς μεγίστης ἐγκλίσεως τοῦ διὰ μέσων πρὸς τὸν ἰσημερινὸν μοιρῶν κγ νά. τῆς οὖν πλινθίδος τιθεμένης ᾗ τινι ἀνεπισκοτήτῳ χωρίῳ, ᾗ ἀκλινεῖ πρὸς τὸν τοῦ ὁρίζοντος ἐπίπεδον ἐδάφει, (τοῦτο δὲ γίνεται διὰ διαβήτου ἤτοι ἀλφαδίου. ἔστι δὲ ὁ διαβήτης ἤτοι τὸ ἀλφάδιον ἐοικὼς τῷ χωροβάτῃ καρπῷ. ἢ καὶ διὰ ὕδατος τῷ ἐπιπέδῳ ἐπιχεομένου, ᾧ ὑπὸ θεματίοις αὐτοῦ διορθωμένου, ἕως αὐτὸ σάσιν ποιήσῃ τὸ ὕδωρ) καὶ τῆς αβγδ τετραγώνου πλευρᾶς πρὸς τὰς ἀνατολὰς τραπομένης, τῆς δὲ βκλγ πρὸς τὸ ἔδαφος, ὀρθῆς γινομένης τῆς εη τῷ τοῦ ὁρίζοντος ἐπιπέδῳ, γνωμόσαμεν ὧν τοῦ ε σημείου κυλίνδριον. ὥστε τὸ κέντρον τῆς βάσεως αὐτοῦ ἐπ' αὐτοῦ ἀκριβῶς τυγχάνειν. ἔτι δὲ καὶ πρὸς τῷ κάτω περάτι τῆς εὐθείας ὧν τὸ μ ἕτερον κυλίνδριον γνώμονα ἴσον καὶ ὁμοίως τορνευόμενον τῷ ἑτέρῳ. πεπλωθείσης οὖν ἡμῖν τῆς κατασκευῆς τῆς πλινθίδος, ἑξῆς καὶ περὶ τῆς θέσεως καὶ χρήσεως αὐτῆς διαληψόμεθα. ἰσάντων οὖν φησὶ ταύτην τὴν κατεγραμμένην τὴν πλινθίδος πλευράν. ὥστε παράλληλον αὐτὴν ἔχειν τῇ θέσει τῇ δεδομένῃ μεσημβρινῇ γραμμῇ, πεπλωθείσης πάλιν διοπτεύοντες, ἢ καὶ ἐπ' αὐτῆς αὐτὴν πεπλωθέντες, ἔτι καὶ ὀρθὴν αὐτῇ ποιήσομεν πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον, διὰ στάθμης ἀπηρτημένον ἐχούσης βαρύμετρον.





καὶ

καὶ ἀπὸ τοῦ ϑερινοτάτου τοῦ ἐπάνω κυλινδρίου ἀφιγμένης, ἕως οὗ εἰς τὸ ϑέρος τοῦ κάτω κυλινδρίου ποιήσηται τὴν προσνεῦσιν. τῆς γὰρ ἀρκτου τοῦ ϑερινοτάτου τοῦ κάτω ἄξονίου ἀνειλῶς ἐφαπτομένης, γίνεται παραλληλόγραμμον ὀρθογώνιον περιεχόμενον ὑπό τε τῶν ἀξονίων, τῶν τε δύο ἴσων καὶ ὁμοίων κυλινδρίων, καὶ τῆς γῆς ἐπιπέδου διά τῶν ϑερμάτων αὐτῶν βάσεως, καὶ ἔτι τῆς ἄρκτου. ἔστι δὲ πάλιν ὅτι καὶ ὀρθογώνιόν ἐστι. διὰ τὸ καὶ τὸ κυλίνδριον πρὸς ὀρθὰς εἶναι τῷ ἐπιπέδῳ, καὶ τοὺς ἄξονας αὐτῶν τῇ βάσει τῇ γῆ τῷ ἐπιπέδῳ. ὥστε ὅταν ἡ ἄρκτος ἐφάπτηται ἀνειλῶς τοῦ ϑερμοτάτου τοῦ κατωτέρω κυλινδρίου, τότε καὶ τὸ ἐπίπεδον ὀρθὸν ἔσται πρὸς τὸν παρὰ τὸν ὁρίζοντα παραλληλογράμμου ὀρθογωνίου σωιστάμενον. ἔτι δὲ καὶ τῆς ϑέσεως εἰρημένης, ἐξῆς περὶ τῆς χρήσεως διαληπτόμεθα. ἐποιούμεθα δὴ τὴν τοιαύτην τῆς πλάτους παρατήρησιν τοῦ ἡλίου ὁμοίως περὶ τὰς ϑερινὰς τροπὰς ἢ τὰς χειμερινὰς τυγχάνοντος, ἔτι τε κατ' αὐτὴν τὴν μεσημβρίαν, τουτέστι πάλιν περὶ ὥρας ε̄. ὁρῶντος τὴν ἀπὸ τοῦ κυλινδρίου προσπίπτουσαν ὑπὸ τὸ καταγεγραμμένον ἐπίπεδον σκιάν, καὶ σημειούμενοι κατὰ ποῖον τμήματος τῆς περιφερείας τυγχάνει, καὶ πάλιν ἀπολαμβάνει περιφέρειαν ἀπὸ τῆς πρὸς ὀρθὰς τῷ ὁρίζοντι βάσεως, ἥτις καὶ ὑπὸ τὸ κατὰ μεσουρανίαν πίπτει. καὶ ἵνα καταληπτόν ἡμῖν γένηται ἡ ἀπὸ τοῦ κυλινδρίου σκιά, παρατίθεμεν πρυχίοντι πρὸς τῇ καταγεγραμμένῃ περιφερείᾳ, πρὸς ὃ εἰς ἐκεῖνο προσπίπτουσαν αὐτὴν δύσημον τοιαύτην καταφαίνεσθαι. καὶ ἐπεὶ ἡ σκιὰ πλατυτέρα δείκνυται (ἐπεὶ καὶ αὐτὸ τὸ κυλίνδριον μᾶλλον τυγχάνει) καὶ πλείονα τόπον τῆς περιφερείας ἀπολαμβάνει, τότε μέσην αὐτῆς σημειούμενοι ὑπὸ τῆς τοῦ τεταρτημορίου διαιρέσεως, ἔχομεν τὴν ἀπὸ τοῦ κατὰ μεσουρανίαν τοῦ μεσημβρινοῦ πλάτους ὑπὸ τοῦ μεσημβρινοῦ παραχώρησιν, τουτέστι πρὸς ἄρκτους καὶ μεσημβρίαν. ποιούμενοι οὕτω τὰς τοιαύτας παρατηρήσεις διὰ τῶν ἑξῆς ἡμερῶν, καὶ εὑρίσκομεν μὲν ποτὲ ἐν τῷ ϑερινῷ τροπικῷ ὁ ἥλιος ἐτύγχανε, πλατηρούμενοι τὴν ἀπὸ τοῦ κυλινδρίου σκιάν, ὡς ὑπὸ τὰ νότια γινομένην, καὶ μηκέτι ὑπὸ τὰ νοτιώτερα ἀπερχομένην, ἀλλ' ὑποστρέφουσαν, λαμβάνοντος τὸ κατ' ἐκεῖνο σημεῖον, ἔχομεν τὴν ἀπὸ τοῦ κατὰ μεσουρανίαν ὑπὸ τὸν ϑερινὸν τροπικὸν τοῦ ἡλίου παραχώρησιν. εἶτα πάλιν περὶ τὰς χειμερινὰς τροπὰς αὐτοῦ κατιόντος, καὶ γινομένης τῆς σκιᾶς βορειοτέρας καὶ μηκέτι προσωτέρω φύτου, ὡς ὑπὸ τὰ βορειότατα παραχωρούσης, ἀλλὰ πάλιν ὑποστρεφούσης, ὁμοίως σημειούμενοι τὸ κατ' αὐτὸ σημεῖον, εὑρίσκομεν τὴν ἀπὸ τοῦ κατὰ μεσουρανίαν ὑπὸ τὸ νοτιώτατον τοῦ ἡλίου παραχώρησιν. καὶ οὕτως ἔχομεν ὑπὸ πᾶν μεσημβρινοῦ τὴν ἀπὸ τοῦ βορειοτάτου τοῦ ἡλίου τέρατος ὑπὸ τὸ νοτιώτατον ἐπιζητουμένην περιφέρειαν, πάσων δὴ τμημάτων ἐκ τῶν μεταξὺ ἀπολειφθεισῶν διαιρέσεων. ὧν δηλαδὴ τεμόντος, ἐχομένην καὶ τὸ ἐν τῷ ἰσημερινῷ σημεῖον, καὶ πόσον ἀφέστηκεν ἑκατέρου τῶν τροπικῶν, καὶ ἔτι τὴν ἀπὸ τοῦ κατὰ μεσουρανίαν ὑπὸ τὸν ἰσημερινόν, ἥτις ἴση δὴ τῷ ἀζιμουθίῳ, ἢ τοι τῷ πλάτει τῆς ὑποκειμένης οἰκήσεως. ἵνα δὲ πάλιν καὶ διὰ τῶν γραμμῶν ὑπ' ὄψιν ἡμῖν γένηται τὰ λεγόμενα, ἔστω πάλιν τὸ καταγραφόμενον τῆς πλινθίου ἐπίπεδον τὸ εϑδ, παράλληλον δὴ τοῦ ἰσημερινοῦ ἐπιπέδῳ, καὶ ὀρθὸν πρὸς τὸν ὁρίζοντα, καὶ τοῦ μὲν ἄκρου τῆς σκιᾶς γινομένου ἐν ταῖς ϑερειναῖς τροπαῖς κατὰ τὸ ν̄, ἐν δὲ ταῖς χειμερειναῖς κατὰ τὸ ο̄, ἐὰν νοήσωμεν ἀναπεπληρωμένον τὸν πτνο κύκλον, ἔσαι δηλονότι μεσημβρινός, διὰ τὸ καὶ τὸ ἐπίπεδον ἐν δὴ τοῦ μεσημβρινοῦ τῷ ϑεσιν ἔχειν. καὶ ἐὰν ἐπιζεύξαντος τὰς νε οε, νοήσωμεν αὐτὰς ὑπὸ τὸν μεσημβρινὸν ἐκβαλλομένας, ὡς τὰς νερ, οεγ, καὶ ἐπιζεύξωμεν τὰς ρο γν, καὶ προσεκβαλλώμεν τῇ γε ὑπὸ τὸ π̄, ἔσαι ἡ μὲν ρο ϑερινοῦ τροπικοῦ διάμετρος, ἡ δὲ γν χειμερινοῦ τροπικοῦ, τὸ δὲ π̄ κατὰ μεσουρανίαν. καὶ ἡ μὲν ρθν ϑερινὴ τροπικὴ ἀκτίς, ἡ δὲ τὸ χειμερινή. καὶ δῆλον ὅτι κατὰ μὲν τοῦ ε̄ γινόμενος ὁ ἥλιος, διὰ τοῦ πὸς δὴ ε̄ κυλινδρίου, ἀκτῖνα πέμψει τὴν τν, ἀπέχων τοῦ π̄ κατὰ μεσουρανίαν τὴν πρ περιφέρειαν, τουτέστι τὴν ϑν. πὸς ὃ δὲ τ̄ γινόμενος, ἀκτῖνα πέμψει τὴ τὸ, ἀπέχων πάλιν τ̄ ὑπ̄ μεσουρανίαν



τὴν ιπτ΄ πδριφέρειαν, τστέσιν τὴν ηο. ἐκ πλειόνων οὖν τοιούτων παρατηρήσεων, τῶν περί τε τὰς θερινὰς τροπὰς καὶ τὰς χειμερινὰς αὐτῷ γεγενημένων, λατελαμβάνοντο τῆς νο μετὰ ξὺ τ̄ τροπικῶν πάντοτε μ̄ζ, οἷον ὁ λύκλος τ̄ξ, καὶ μείζονος ℳ, ἢ δημοίρα τμήματος, ἐλάττονος δὲ ἢ ς δ. ⸫ οὕτως ἔχον ἐπελογίζοντο, διὰ τὸ ⸫ τὰ μεταξὺ μοιρικὰ διαστήματα διαιρεῖσθαι καὶ τὰ ἑξήκοντα. ⸫ οὗ περ ὁ λόγος ὁ αὐτὸς σχεδὸν ἦν τοῦ Ἐρατοσθένους, ᾧ καὶ ὁ Ἵππαρχος ἐχρήσατο ὡς ἀκριβῶς εἰλημμένῳ. ⸫ γὰρ ὁ Ἐρατοσθένης διαιρήσας τὸν ὅλον λύκλον εἰς π̄γ, εὗρησε τῆς μεταξὺ τῶν τροπικῶν, τῶν αὐτῶν ια, ⸫ ἔσιν ὡς τ̄ξ πρὸς μ̄ζ μβ μ΄, οὕτως π̄τ ια. ὅτι ἦν ἐκ τ̄ τοιούτων παρατηρήσεων δῆ δυσερούς λαμβάνετο ⸫ τὸ ἑξάρμα, ἢ ⸫ ἡ ἔγκλισις τῆς οἰκήσεως ᾗ ἡ αὐ ἡ παρατήρησις γράπτ, οὕτως ἔσαι δῆλον. ἐπεὶ γὰρ ἦ ρ̄τ δίχα τμηθείσης ὑπὸ τοῦ ἰσημερινοῦ τὸ σημεῖον ἦ δίχοτομίας ἐγίνετο, ἐὰν αἷς τέμνωμεν αὐτὴν δίχα ἀπὸ τὸ σ̄, καὶ ἐπιζεύξαντες τὴν σ̄ε διαγάγωμεν ἀπὸ τὸ ξ̄, ἔσαι ἡ σ̄ξ διάμετρος τ̄ ἰσημερινοῦ. ἐὰν οὖν ταύτην πρὸς ὀρθὰς ἀχθ̄ τ̄ ε̄ διχοτόμος ἀγάγωμεν τ̄ εφ, ἡ εφ ἔσαι ἄξων, ⸫ τὸ φ̄ πόλου τ̄ ἰσημερινοῦ, ⸫ ἡ μὲν ε̄θ ὀείζοντος θέσιν ἔξει, διὰ τὸ ὀρθὴν εἶναι τ̄ ὑπὸ π̄εθ, τοῦ π̄ ἀπὸ κορυφῆς ὄντος, ⸫ τεταρτημορίου γινομένου τῆς π̄α περιφερείας, ὅσον ⸫ ἀπέχει τὸ ἀπὸ κορυφῆς τοῦ ὀείζοντος πόλος αὐτοῦ τυγχάνων. τὸ δὲ φ̄ ἔσαι ὁ φανερὸς πόλος. καὶ ἐπεὶ ἡ πφα τεταρτημορίου ὄδὴν, ἀλλὰ ⸫ ἡ σ̄φ, διὰ τὸ τὸ φ̄ πόλον εἶναι τοῦ ἰσημερινοῦ, κοινῆς ἀφαιρεθείσης τῆς π̄φ, λοιπὴ ἡ π̄σ ἴση ἔσαι τῇ φ̄α, ὁμοίως τοῖς ἐμπροσθεν εἰρημένοις. ⸫ ἔσιν ἡ ᾱφ τ̄ ἑξαρμάτος, ἡ ἡ π̄σ ἄρα ἴση ὄδὴ τοῦ πόλου ἑξάρματι. ⸫ λέλοιπεν ἡ π̄σ, τουτέσιν ἡ ὑξ ἐκ τῆς τοῦ τεταρτημορίου διαιρέσεως. λέλοιπε ἄρα καὶ ἡ φ̄α τοῦ ἑξάρματος. ὥστε ⸫ ἡ ο̄ψ λείπουσα ᾗ σ̄π εἰς τὸ τεταρτημόριον ἔσαι λελομένη ᾗ ἐγκλίσεως τυγχάνουσα. ὡσαύτως δὲ καὶ καθ' οἱανοῦν οἴκησιν τ̄ τοιαύτην παρατήρησιν ποιώμεθα, τ̄ ὅτω λαμβανομένην διάστασιν ἀπὸ τ̄ κορυφῆς τοῦ ὑπὸ τὸν ᾗ τὸ διχοτομίας τῆς τε βορειοτάτης καὶ νοτιωτάτης τοῦ ἡλίου παραχωρήσεως, φήσομεν εἶναι τ̄ ἑξάρματος, ὁ ⸫ πλάτος ὄδὴ ᾗ οἰκήσεως, τὰ ἦ λοιπὰ εἰς τὸ τεταρτημόριον, τ̄ ἐγκλίσεως. φανερὸν ἦ ὅτι ᾗ πλευρᾶς τ̄ καταγραφείσης οὔσης τῆς ευδ, ⸫ τοῦ γνωμονίου λαμβάνει πρὸς τῇ μιᾷ τῶν γωνιῶν ὡς κορυφῇ τὸ ε̄, οὐκ εἰς πᾶσαν οἴκησιν χρησιμεύει τὸ ὄργανον πρὸς τ̄ κατάληψιν τῆς ἐπιζητουμένης μεταξὺ τῶν τροπικῶν περιφερείας. ἔνθα γὰρ ὁ ἥλιος βορειότερος γίνεται τοῦ π̄ κορυφῆς ὡς ὠδὶ τὸ χ̄, πέμπει διὰ τοῦ ε̄ κυλίνδρου ἀκτῖνα τὴν χε, ἐκπίπτουσαν τ̄ ευδ παραλληλογράμμου, ⸫ ἀδιώκτως ποιοῦσαν τ̄ ἐπιζητουμένην κατάληψιν, διὸ χρὴ ταύτῃ τῶν τοιούτων κλιμάτων, μὴ πρὸς ὄρθ̄ ἄκρῳ τυγχάνειν τὸν γνώμονα, ἀλλὰ πρὸς τὸ μέσον, ὡς ταύτῃ τοῦ ē̄ παραλληλογράμμου τὸ ε̄, καὶ ἀναπληροῦν τὴν περιφέρειαν, καὶ οὕτω τὴν τῆς μεταξὺ τῶν τροπικῶν κατάληψιν μεταχειρίζεσθαι, ἀκολούθως τοῖς εἰρημένοις ταύτῃ τοῦ κειμένου. ⸫ ἔσονται ἡμῖν αἵτε κατασκευαὶ ⸫ θέσεις καὶ αἱ χρήσεις τῶν κυκλοῖν ὀργάνων, ⸫ αἱ μὲν διὰ τῶν τοιούτων τηρήσεων καταλήψεις, τοιαῦται. Ἐπαπορήσειε δ' ἄν τις διὰ τί ποτε αὐτῶν μετὰ τὴν ἔνθεσιν τῶν ἀρχοειδῶς ὀφειλόντων προληφθῆναι τῆς μαθηματικῆς θεωρείας ἀρχόμενος τῶν κῆ μέρος ἀποδείξεων, ⸫ φήσας πρώτην δεῖν ποιήσασθαι τὴν ἀποδεῖξιν τῆς παραλληλότητος, τῆς μεταξὺ τῶν δύο πόλων περιφερείας τοῦ τε διὰ μέσων τῶν ζῳδίων ⸫ τοῦ ἰσημερινοῦ, ⸫ ταύτης ἀναγκαῖον εἶναι προλαβεῖν τὴν πραγματείαν τῶν ἐν κύκλῳ ὀυθειῶν, ὡς συντελοῦσαν πρὸς τ̄ ἀπόδειξιν τῆς μεταξὺ τῶν εἰρημένων δύο τόπων πόλων περιφερείας, προεκθέμενος τὰς ἐν κύκλῳ ὀυθείας, οὐδαμοῦ ταύτας προσεχρήσατο πρὸς τὴν εὕρεσιν τῆς μεταξὺ τῶν πόλων περιφερείας, δῆλον οὖν ὅτι ⸫ ταύτην μετὰ τῶν ἀρχοειδῶν προλαβεῖν βεβούληται, ὡς συντελοῦσαν εἰς τὰς πλείστας ᾗ συντάξεως γραμμικὰς ἀποδείξεις, διό καὶ φησίν, ἀναγκαῖον ὁρῶμεν προεκθέσθαι τὴν πραγματείαν τῶν ἐν κύκλῳ ὀυθειῶν, ἅπαξ γε μελλόντων ἅπαντα γραμμικῶς ἀποδεικνύναι. ἔμελλε γὰρ μὴ προεκθέμενος τὰς ἐν κύκλῳ ὀυθείας τ̄ διαίρεσιν ᾗ λεξώσεως πραγματείας, πλέξαι πρότερον διὰ τῶν ὀργάνων τὴν μεταξὺ τῶν τροπικῶν ⸫ τοῦ ἰσημερινοῦ μοιρῶν κγ νά ἢ ἐγγισα σωζομένην, ἥτις ὄδὴ ᾗ μεγίστης λεξώσεως, εἶτα τὴν ἔνθεσιν τῆς πραγματείας τῶν ἐν κύκλῳ ὀυθειῶν ἐνθεῖναι, διὰ τὸ προσλεῖσθαι αὐτῶν εἰς τὰς κατὰ μέρος λεξώσεις, ὅθεν μᾶλλον πρεπωδέστερον ἔκεινε προεκθεῖναι τὴν τῶν ἐν κύκλῳ ὀυθειῶν πραγματείαν τῆς ἀποδείξεως τῆς μεταξὺ τῶν τροπικῶν περιφερείας καὶ μὴ μετ' αὐτήν.

ΠΡΟ-

ΠΡΟΛΑΜΒΑΝΟΜΕΝΑ ΕΙΣ ΤΑΣ ΣΦΑΙΡΙΚΑΣ ΔΕΙΞΕΙΣ.

Ακολούθου δ' ὄντος τ τὰς ιγ μέρος ἀποδεῖξαι πηλικότητας τῶν ἀπολαμβανομένων περιφερειῶν μεταξὺ τοῦ τε ἰσημερινοῦ καὶ τοῦ διὰ μέσων τῶν ζῳδίων κύκλου τῶν γραφομένων μεγίστων κύκλων διὰ τῶν τοῦ ἰσημερινοῦ πόλων, διὰ δὲ τῶν μεγίστου διαζεύγνυται τούτεστι τοῦ ἀπὸ τοῦ προπικοῦ ὡς τὸν ἰσημερινόν, προεκπίπτεται λημμάτια βραχέα καὶ δύχρηστα, δι' ὧν τὰς πλείστας τῶν σφαιρικῶν διέξεως ἁπλουστέρων καὶ μεθοδικώτερον ἐφοδεύει. καὶ πρῶτον οὗ ἡ πρότασις δείκνυται ἔστιν οὕτως. ἐὰν εἰς δύο εὐθείας περιφερείας, γωνίαν περιεχούσας, ἀπὸ τῶν περάτων διαχθῶσι β εὐθεῖαι τέμνουσαι ἀλλήλας τ τὰς τοῦ γωνίαν περιεχούσας, ὁ τοῦ μιᾶς τῶν εὐθειῶν τῶν τῆς ἀρχῆς γωνίαν περιεχόντων, πρὸς τοῦ ἀποδαμβανομένην αὐτῆς πρὸς τῇ γωνίᾳ ὑπὸ τοῦ διαχθείσης λόγος, συνῆπται ἔκ τε τοῦ λόγου τοῦ διαχθείσης ἀπὸ τοῦ πέρατος τῆς ἑτέρας εὐθείας, τοῦ ἀποδαμβανομένης αὐτῆς ὑπερεχῆς τῆς ἑτέρας διαχθείσης πρὸς τῇ ἑτέρᾳ εὐθείᾳ τῶν περιεχουσῶν τοῦ γωνίαν, καὶ ἔτι τοῦ λόγου τοῦ ἀποδαμβανομένης ὑπό τε τῆς τομῆς τῶν διαχθεισῶν πρὸς τοῦ πέρατι τῆς ἑτέρας τῶν τῆς γωνίαν περιεχουσῶν, τοῦ αὐτῆς ὅλης τοῦ διαχθείσης. εἰς γὰρ δύο εὐθείας τὰς ΑΒ ΑΓ διαχθεῖσαι Β ΔΕ τοῦ ΓΔ, τεμνέτωσαν ἀλλήλας μὴ κατὰ τὸ Ζ σημεῖον, τὰς μὲν ΑΒ ΑΓ, κατὰ τὰ Δ Ε σημεῖα, λέγω ὅτι ὁ τοῦ ΓΑ πρὸς ΑΕ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΓΔ πρὸς ΔΖ λόγου, καὶ τοῦ τῆς ΖΒ πρὸς ΒΕ. ἤχθω γὰρ διὰ τοῦ Ε τῇ ΓΔ παράλληλος ἡ ΕΘ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΓΔ τῇ ΕΘ, ὁ ἄρα τοῦ ΓΑ πρὸς ΑΕ λόγος, ὁ αὐτός ἐστι τοῦ τῆς ΓΔ πρὸς ΕΘ, ἰσογώνιον γὰρ ἐστι τὸ ΑΓΔ τρίγωνον τῷ ΑΕΘ. ἀλλὰ τῆς ΔΖ εὐθείας ἔξωθεν ἤτοι μέσης λαμβανομένης, ὁ τῆς ΓΔ πρὸς ΕΘ λόγος συνῆπται ἔκ τε τοῦ ΓΔ πρὸς ΔΖ λόγου, καὶ τοῦ ΔΖ πρὸς ΕΘ. ἀλλὰ τοῦ τοῦ ΔΖ πρὸς ΕΘ λόγῳ, ὁ αὐτός ἐστιν ὁ τοῦ ΖΒ πρὸς ΒΕ. διὰ τὸ παράλληλον εἶναι τῇ ΔΖ τῇ ΕΘ, καὶ ἰσογώνιον πάλιν γίνεται τὸ ΒΖΔ τρίγωνον τῷ ΒΕΘ τριγώνῳ. ὁ ἄρα τοῦ ΓΔ πρὸς ΕΘ τοτέστι τοῦ ΓΑ πρὸς ΑΕ λόγος συνῆπται ἔκ τε τοῦ τοῦ ΓΔ πρὸς ΔΖ, καὶ τοῦ τοῦ ΖΒ πρὸς ΒΕ. καὶ δῆλον ὅτι ἀφ' ὧν σημείων ἄρχεται ὁ σωλιθέντος λόγος, ἀπὸ τούτων ἄρχεται καὶ ὁ πρῶτος τῶν συλλιθέντων. καὶ εἰς ὃ οὗτος καταλήγει, ἀπὸ τούτου ἄρχεται ὁ Β τῶν συλλιθέντων, καὶ λήγει εἰς ὃ καὶ ὁ συντιθέμενος κατέληξε. καθάπερ ὁ συλλιθέμενος ὁ τοῦ ΓΑ πρὸς ΑΕ λόγος, ἤρξατο μὲν ἀπὸ τοῦ Γ καὶ κατέληξεν εἰς τὸ Ε, ἔστω δὲ πρῶτος τῶν συντιθέντων ὁ τοῦ ΓΔ πρὸς ΔΖ λόγος, ἤρξατο ἀπὸ τοῦ Γ ἀφ' οὗ καὶ ὁ συντιθέμενος, καὶ κατέληξεν εἰς τὸ Ζ, καὶ ἑξῆς ὁ ΖΒ πρὸς τὴν ΒΕ ἤρξατο ἀπὸ τοῦ Ζ εἰς ὃ ὁ πρῶτος τῶν συντιθέντων κατέληξε, καὶ κατέληξεν εἰς τὸ Ε, ἐφ' οὗ ὁ συλλιθέμενος κατέληξεν. Λέγω δὴ ὅτι καὶ καθόλου εἰς τῆς τοιαύτης τάξεως καὶ ὁμοίας δείξεως συνίσταται, τουτέστιν ὁ τῶν ΕΒ πρὸς ΒΖ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΕΑ πρὸς ΑΓ, καὶ τοῦ τοῦ ΓΔ πρὸς ΔΖ. ὡς γὰρ ἐπὶ τοῦ τῆς καταγραφῆς, ἐπεὶ ὁ τῶν ΕΒ πρὸς ΒΖ λόγος ὁ αὐτός ἐστι τοῦ τοῦ ΕΔ πρὸς ΔΖ, ἀλλὰ τῶν ΕΔ ΖΔ τῆς ΓΔ ἔξωθεν λαμβανομένης, ὁ τῆς ΕΔ πρὸς ΖΔ λόγος συνῆπται ἔκ τε τοῦ τοῦ ΕΔ πρὸς ΔΓ. καὶ τοῦ τοῦ ΓΔ πρὸς ΔΖ. ὥστε καὶ ὁ τῶν ΕΒ πρὸς ΒΖ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΕΔ πρὸς ΔΓ. καὶ τοῦ τῆς ΓΔ πρὸς ΔΖ. ἀλλὰ τοῦ τῆς ΕΔ πρὸς ΔΓ λόγῳ, ὁ αὐτός ἐστιν ὁ τῶν ΕΑ πρὸς ΑΓ. ὁ ἄρα τοῦ ΕΒ πρὸς ΒΖ λόγος συνῆπται ἔκ τε τοῦ τοῦ ΕΑ πρὸς ΑΓ καὶ τοῦ τῆς ΓΔ πρὸς ΔΖ. Ἔτι καὶ ἑτέρως μεταληπτέον τὴν ἐρημένην τάξιν. λέγω γὰρ πάλιν ὅτι ὁ τῶν ΒΕ πρὸς ΕΖ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΒΑ πρὸς ΑΔ καὶ τοῦ τῆς ΓΔ πρὸς ΓΖ. ὡς γὰρ ἐπὶ τῆς προκειμένης καταγραφῆς, ἤχθω διὰ τοῦ Ζ σημείου τῇ ΑΒ παράλληλος ἡ ΖΗ. ἐπεὶ οὖν ὁ τῶν ΒΕ πρὸς ΕΖ λόγος ὁ αὐτός ἐστι τοῦ τοῦ ΒΑ πρὸς ΖΗ, ἀλλ' ὁ τῶν ΒΑ πρὸς ΖΗ λόγος τῶν ΔΑ ἔξωθεν λαμβανομένης, συνῆπται ἔκ τε τοῦ τῆς ΒΑ πρὸς ΑΔ καὶ τοῦ τοῦ ΑΔ πρὸς ΖΗ. ὥστε καὶ ὁ τῶν ΒΕ πρὸς ΕΖ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΒΑ πρὸς ΑΔ καὶ τοῦ τοῦ ΑΔ πρὸς ΖΗ. τοῦ δὲ τοῦ ΑΔ πρὸς ΖΗ λόγῳ ὁ αὐτός ἐστι τῷ τοῦ τῆς ΓΔ πρὸς ΓΖ, καὶ ὁ τῶν ΒΕ πρὸς ΕΖ ἄρα λόγος συνῆπται ἔκ τε τοῦ τῆς ΒΑ πρὸς ΑΔ καὶ τοῦ τῆς ΓΔ πρὸς ΓΖ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν πτώσεων ὁ αὐτὸς συναχθήσεται τῆς τῶν εὐθειῶν τάξεως καὶ τοῦ ἐρημένου τρόπου λαμβανομένης. Ἵνα δὲ ἔτι καταδηλότερον γένηται τὸ προκείμενον θεώρημα, διήχθω ἡ ΓΔ ἐπὶ τὸ Θ, καὶ κείσθω τῇ ΕΔ ἴση ἡ ΔΘ, καὶ ἤχθω διὰ τοῦ Δ τῇ ΓΘ πρὸς ὀρθὰς ἡ ΔΚ, καὶ κείσθω ἴση τῇ ΔΖ, καὶ συμπεπληρώσθω τὸ ΛΓ παραλληλόγραμμον. καὶ ἐπεὶ ὁ τοῦ ΓΚ παραλληλογράμμου πρὸς τὸ ΚΘ λόγος ὁ αὐτός ἐστι τοῦ τοῦ ΓΔ εὐθείας πρὸς τὴν ΔΘ, ὁ δὲ τοῦ ΓΚ

πρὸς κθ λόγος σύγκειται ἐκ τῶν λοιπῶν, τουτέστιν ἔκ τε τοῦ ὃν ἔχει ἡ γδ πρὸς δκ, καὶ ἡ κδ πρὸς δθ. τὰ γὰρ ἰσογώνια παραλληλόγραμμα λόγον ἔχει πρὸς ἄλληλα τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. καὶ ὁ τῆς γδ ἄρα πρὸς δϛ λόγος σύγκειται ἔκ τε τοῦ τῆς γδ πρὸς δκ, καὶ τοῦ κδ πρὸς δθ. ἀλλ ἡ μὲν δκ τῇ δζ ὅλῃ ἴση, ἡ δὲ δθ τῇ ηε, ὁ ἄρα τῆς γδ πρὸς εη λόγος τουτέστιν ὁ τῆς γα πρὸς αε, σύγκειται ἔκ τε τοῦ τῆς γδ πρὸς δζ, καὶ τοῦ τῆς δζ πρὸς εη, τουτέστι τοῦ ζβ πρὸς βε. Λόγος ἐκ β λόγων ἢ καὶ πλειόνων συγκεῖσθαι λέγεται, ὅταν αἱ τῶν λόγων πηλικότητος πολλαπλασιαθεῖσαι ποιῶσί τινα πηλικότητα λόγου. ἐχέτω γὰρ τὸ αβ πρὸς τὸ γδ λόγον διεσλομμένον, καὶ τὸ γδ πρὸς τὸ εζ λόγον, λέγω ὅτι ὁ τοῦ αβ πρὸς εζ λόγος σύγκειται ἔκ τε τοῦ αβ πρὸς γδ, καὶ τοῦ γδ πρὸς εζ, τουτέστιν ὅτι ἐὰν ἡ τὸ αβ πρὸς τὸ γδ λόγου πηλικότης, πολλαπλασιαθῇ τῷ τοῦ γδ πρὸς εζ, τὸν λόγου πηλικότητα τῷ τοῦ αβ πρὸς εζ ποιήσει. ἔστω γὰρ πρότερον τὸ μὲν αβ τοῦ γδ μεῖζον, τὸ δὲ γδ τοῦ εζ, καὶ ἔστω τὸ μὲν αβ τοῦ γδ διπλάσιον, τὸ δὲ γδ τοῦ εζ τριπλάσιον. ἐπεὶ οὖν τὸ μὲν γδ τοῦ εζ τριπλάσιόν ἐστιν, τοῦ δὲ γδ διπλάσιον τὸ αβ, τὸ ἄρα αβ τοῦ εζ ἐστιν ἑξαπλάσιον. ἐπεὶ καὶ ἐὰν τὸ τριπλάσιον τινὸς διπλασιάσωμεν, γίνεται αὐτοῦ ἑξαπλάσιον. δῆλον γάρ ὅτι συνεχὴς σύνθεσις. ἢ οὕτως. ἐπεὶ τὸ αβ τοῦ γδ ἐστὶ διπλάσιον, διηρήσθω τὸ αβ εἰς τὰ θλ γδ ἴσα τὰ αη ηβ. καὶ ἐπεὶ τὸ γδ τοῦ εζ ἐστὶ τριπλάσιον, ἴσον δὲ τὸ αη θλ γδ, καὶ τὸ αη ἄρα τοῦ εζ τριπλάσιόν ἐστι. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ηβ τοῦ εζ ἐστὶ τριπλάσιον. ὅλον ἄρα τὸ αβ, τοῦ εζ ἐστὶν ἑξαπλάσιον. ὁ ἄρα τοῦ αβ πρὸς τὸ εζ λόγος, σύγκειται διὰ τοῦ γδ μέσου ὅρου ἔκ τε τοῦ τοῦ αβ πρὸς τὸ γδ λόγου, καὶ τοῦ τοῦ γδ πρὸς εζ. Ὁμοίως δὲ καὶ ἐὰν ἐλάττων ἢ ἑκατέρου τῶν αβ εζ τὸ γδ, τὸ αὐτὸ συμβήσεται. ἔστω γὰρ πάλιν τὸ μὲν αβ τοῦ γδ τριπλάσιον, τὸ δὲ γδ τοῦ εζ. καὶ ἐπεὶ τὸ γδ τοῦ εζ ἐστὶ διπλάσιον, τοῦ δὲ γδ τριπλάσιον τὸ αβ, τὸ αβ ἄρα ἡμιόλιόν ἐστι τοῦ εζ. ἐὰν γὰρ τὸ ἥμισυ τινὸς τριπλασιάσωμεν, ἔξει αὐτὸ ἅπαξ καὶ ἡμισάκις. ἢ οὕτως. ἐπεὶ τὸ μὲν αβ τοῦ γδ ἐστὶ τριπλάσιον, τὸ δὲ γδ τοῦ εζ ἡμιόλιον, οἷον ἄρα ἐστὶ τὸ αβ ἴσον θλ γ, τριῶν, τοιούτων ἐστὶ τὸ εζ δύο. ὥστε ἡμιόλιον ἔσται τὸ αβ τοῦ εζ, ὁ ἄρα τοῦ αβ πρὸς τὸ γζ λόγος, συνῆκται διὰ τοῦ γδ μέσου ὅρου συγκείμενος ἔκ τε τοῦ αβ πρὸς γδ λόγου, καὶ τοῦ τοῦ γδ πρὸς εζ. Ἀλλὰ δὴ πάλιν ἔστω τὸ γδ ἑκατέρου τῶν αβ εζ μεῖζον. καὶ ἔστω τὸ μὲν αβ τοῦ γδ, ε μέρος, τὸ δὲ γδ τοῦ εζ ἑπίτριτον. ἐπεὶ οὖν οἷον ἐστὶ τὸ αβ δύο, τοιούτων τὸ γδ, δ, οἷον δὲ τὸ γδ δ, τοιούτων τὸ εζ τριῶν. καὶ οἷον ἄρα τὸ αβ δύο, τοιούτων τὸ εζ, γ. συνῆκται ἄρα πάλιν ὁ τοῦ αβ πρὸς εζ λόγος διὰ τοῦ γδ μέσου ὅρου ὁ τῶν β πρὸς τὰ γ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν πτώσεων. καὶ δῆλον ὡς ὅτι ἐὰν ἀπὸ τοῦ συγκειμένου λόγου εἰς ὁποιουοῦν τῶν συντεθέντων διαιρεθῇ, ἑνὸς τῶν ἄκρων ἀφανισθέντος, ὁ λοιπὸς τῶν συντεθέντων καταλειφθήσεται. Ἐξῆς δὲ καὶ δεύτερον θεώρημα ἐκτίθεται συντελοῦν καὶ αὐτὸ ὡς ἔφαμεν εἰς τὰς σφαιρικὰς ἀποδείξεις, ὅμοιον μὲν θλ πρώτῳ, κατὰ διαίρεσιν δὲ αὐτοῦ τυγχάνον, οὗ ἡ πρότασις δεῖται τοιαύτη. ἐὰν εἰς β δύθειας περιφερομένας γωνίαν περιεχούσας διαχθῶσι δύο δύθειαι ἀπὸ τῶν περάτων τέμνουσαι ἀλλήλας, καὶ τὰς τῶν γωνίαν περιεχούσας, ὁ τῶν ζθ μιᾶς τῶν τῶν γωνίαν περιεχουσῶν δύθειῶν τμημάτων λόγος, ἀρχόμενος ἀπὸ τοῦ πρὸς θλ κάτω πέρατι, σύγκειται ἔκ τε τῶν τμημάτων τῶν τῆς ἀπὸ τοῦ αὐτοῦ πέρατος διαχθείσης, ἀρχομένων πάλιν ἀπὸ τοῦ αὐτοῦ πέρατος καὶ τοῦ λόγου τοῦ ἀπολαμβανομένου τμήματος ὑπὸ τῆς αὐτῆς διαχθείσης τῆς ἑτέρας τῶν περιεχουσῶν τὴν γωνίαν, πρὸς θλ πέρατι αὐτῆς, καὶ αὐτῆς ὅλης. εἰς γὰρ δύο δύθειας τὰς αβ αγ διήχθωσαν δύο δύθειαι αἱ βε γδ, τέμνουσαι ἀλλήλας κατὰ τὸ ζ, λέγω ὅτι τῆς γε πρὸς εα λόγος σύγκειται ἔκ τε τοῦ ζγ πρὸς ζδ λόγου, καὶ τοῦ τῆς δβ πρὸς βα. ἤχθω γὰρ διὰ τοῦ α τῇ εζ παράλληλος, ἡ αη, καὶ διήχθω ἡ γδ ἐπὶ τὸ η. ἐπεὶ οὖν παράλληλος ἐστὶν ἡ εζ τῇ αη, ἔστιν ἄρα ὡς ἡ γε πρὸς εα, οὕτως ἡ γζ πρὸς ζη. ἀλλὰ ἀκολούθως τοῖς ἐμπροσθεν εἰρημένοις, τῶν γζ ζη μέσης λαμβανομένης









μβύης τῆς ζδ, ὁ τῆς ιζ πρὸς ζη λόγος, σύγκειται ἔκ τε τοῦ τῆς ιζ πρὸς ζδ λόγου, καὶ τοῦ τῆς δζ πρὸς ζη, ἀλλὰ ℓῳ ἡ δζ πρὸς ζη λόγῳ, ὁ αὐτός ἐστιν ὁ τῆς δβ πρὸς βα. ἀλλ' ὡς παραλλήλους τὰς αη εβ διῆχθαι τὰς βα καὶ ζη, καὶ ἰσογώνια ποιεῖν τὰ αδη, βδζ τρίγωνα, καὶ ἔστιν ὡς τὸ ηδ πρὸς δα, οὕτως τὸ ζδ πρὸς δβ, καὶ ἐναλλὰξ ὡς τὸ ηδ πρὸς δζ, οὕτως τὸ αδ πρὸς δβ, καὶ συνθέντι, ὡς τὸ ζη πρὸς ηδ, οὕτως τὸ βα πρὸς αδ, καὶ ἀνάπαλιν, ὡς τὸ δη πρὸς ηζ, οὕτως τὸ δβ πρὸς βα. ὁ ἄρα τῆς ιζ πρὸς ζη λόγος, τουτέστιν ὁ τῆς ιε πρὸς εα συγκειται ἔκ τε τοῦ τῆς ιζ πρὸς ζδ, καὶ τοῦ τῆς δα πρὸς αβ. καὶ φανερὸν ὅτι ὁμοίως καὶ ἐπὶ τοῦ ἀφ' οὗ ἤρξατο ὁ συντιθέμενος λόγος, ἀπὸ τούτου ἤρξατο καὶ ὁ πρῶτος τῶν συντιθέντων, καὶ εἰς ὃ οὗτος κατέληξεν, ἀπὸ τούτου ἤρξατο ὁ δεύτερος τῶν συντιθέντων, καὶ κατέληξεν ἐκεῖνα καὶ ὁ συντιθέμενος. Λέγω δὴ πάλιν ὅτι καὶ ἐνταῦθα καθόλου ὧν τῆς τοιαύτης τάξεως ἡ δεῖξις προχωρεῖ, ☞ πρῶτον ὅτι ὁ τῆς βζ πρὸς ζε λόγος σύγκειται ἔκ τε τοῦ τῆς βδ πρὸς δα, καὶ τοῦ τῆς αη πρὸς ιε. ἤχθω γὰρ διὰ τοῦ α τῇ ιδ παράλληλος ἡ αθ, καὶ διήχθω ἡ βε ἐπὶ τὸ θ. ἐπεὶ οὖν ὁ τῆς βζ πρὸς ζε λόγος τῆς ζθ ἐξαθεν λαμβανομένης, σύγκειται ἔκ τε τοῦ τῆς βζ πρὸς ζθ, καὶ τοῦ τῆς θζ πρὸς ζε, ἀλλὰ ℓῳ μὲν τῆς βζ πρὸς ζθ λόγῳ ὁ αὐτός ἐστιν ὁ τῆς βδ πρὸς δα, ℓῳ δὲ τῆς θζ πρὸς ζε, ὁ αὐτός ἐστιν ὁ τοῦ αη πρὸς ιε, διὰ τὸ ἰσογώνια εἶναι τὰ αεθ ζεγ τρίγωνα. ὁ ἄρα τῆς βζ πρὸς ζε λόγος σύγκειται ἔκ τε τῶν τῆς βδ πρὸς δα, καὶ τοῦ τῆς αη πρὸς ιε. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἀναπάλιν διεχθήσεται, ὁ τῆς αη πρὸς ιε λόγος σύγκειται ἔκ τε τοῦ τῆς αδ πρὸς δβ, καὶ τοῦ τῆς βζ πρὸς ζε. καὶ πάλιν καὶ καθόλου ὡς ἂν ληφθῇ ἡ εἰρημένη τάξις τοῦ τε συντιθεμένου καὶ τῶν συντιθέντων, ὡς καὶ ἐξῆς ἐπὶ τῶν κατὰ μέρος πάλιν τοιούτων διέξεων φανερὸν ποιήσομεν. ἵνα γὰρ πάλιν ☞ διὰ τῶν γραμμῶν καταλήλον γένηται τὸ τῆς συνθέσεως τῶν λόγων, ἤχθω διὰ τοῦ ζ τῇ ηγ πρὸς ὀρθὰς ἡ ζθ, καὶ διείσθω ἴση τῇ ζδ, καὶ συμπεπληρώσθω τὸ ηκ παραλληλόγραμμον. ἐπεὶ οὖν ὁ τοῦ ιθ παραλληλογράμμου πρὸς θη λόγος σύγκειται ἔκ τῶν πλευρῶν, τουτέστιν ἔκ τε τοῦ τῆς ιζ πρὸς ζθ, καὶ τοῦ τῆς θζ πρὸς ζη, ἀλλ' ὡς ὁ ιθ παραλληλόγραμμος πρὸς τὸ θη, οὕτως ἡ ιζ πρὸς τὴν ζη, ὁ ἄρα τῆς ιζ πρὸς τὴν ζη λόγος σύγκειται ἔκ τε τοῦ τῆς ιζ πρὸς ζθ λόγου, καὶ τοῦ τῆς ζθ πρὸς ζη. ἴση δὲ ἡ ζθ τῇ ζδ ὁ ἄρα τῆς ιζ πρὸς ζη λόγος, σύγκειται ἔκ τε τοῦ τῆς ιζ πρὸς ζδ, καὶ τοῦ τῆς δζ πρὸς ζη. ἀλλ' ὁ τῆς δζ πρὸς ζη λόγος ὁ αὐτός ἐστιν ℓῳ τῆς δβ πρὸς βα, διὰ τὸ ἰσογώνια εἶναι ὡς ἔφαμεν τὰ δζβ, αδη τρίγωνα. ὁ ἄρα τῆς ιζ πρὸς ζη λόγος, τουτέστιν ὁ τῆς ιε πρὸς εα, σύγκειται ἐκ τοῦ τῆς ιζ πρὸς ζδ λόγου, καὶ τοῦ τῆς δβ πρὸς βα. Ἐξῆς μετὰ τὰ τοιαῦτα δύο θυθύγραμμα,



λημμάτια ἐκτίθεται καὶ ἕτερα δ κυκλικὰ, συντελοῦντα καὶ αὐτὰ πρὸς τὰς σφαιρικὰς δείξεις. ☞ πρῶτον, οὗ ἡ πρότασις δύναται ἐστὶν τοιαύτη, ἐὰν κύκλου τῆς περιφερείας ληφθῇ τρία τυχόντα σημεῖα ἀφαιροῦσα μεταξὺ δύο περιφερείας ἑκατέραν ἐλάσσονα ἡμικυκλίου, ἡ ὑποτείνουσα τὴν συναμφότερον περιφέρειαν θυθεῖα οὕτω τμηθήσεται ὑπὸ τῆς ἀπὸ τοῦ κέντρου τοῦ κύκλου τῆς μεταξὺ τῶν ληφθέντων τριῶν σημείων ἐπιζευγνυμένης, ὥστε τὰ τμήματα αὐτῆς πρὸς αὐτὴν λόγον ἔχειν τοῖς ὑποτεινούσαις τὰς διπλασίονας ἑκατέρας τῶν εἰρημένων δύο περιφερειῶν, ἀπὸ τοῦ αὐτοῦ σημείου τῶν ἡγουμένων λαμβανομένων. ἔστω γὰρ κύκλος ὁ αβγ, οὗ κέντρον τὸ δ, καὶ ὑπὸ τῆς περιφερείας αὐτοῦ εἰλήφθω ιε τυχόντα σημεῖα τὰ α β ε, ὥστε ἑκατέραν τῶν αβ βγ περιφερειῶν ἐλάσσονα εἶναι ἡμικυκλίου, ☞ ὑπὸ τῶν ἑξῆς ἢ τὸ ὅμοιον ὑποκείσθω. ὥστε ὅταν λέγωμεν εἰλήφθω ὑπὸ τῆς τοῦ κύκλου περιφερείας ιε τυχόντα σημεῖα, ἐλάττονας αὐτὰ ἀπολαμβάνειν ἡμικυκλίων περιφερείας τὰς μεταξὺ αὐτῶν. ☞ ἐπεζεύχθωσαν αἱ τε αγ καὶ ἡ δεβ, λέγω ὅτι ἔστιν ὡς ἡ αε εὐθεῖα, πρὸς τὴν εγ, οὕτως ἡ ὑποτείνουσα τὴν διπλασίονα τῆς αβ περιφερείας εὐθεῖα πρὸς τὴν ὑποτείνουσαν τὴν διπλασίονα τῆς βγ περιφερείας εὐθεῖαν. ἤχθωσαν γὰρ διὰ τῶν α ☞ ε ☞ γ σημείων ὑπὸ τὴν δεβ, αϛ εϛ γϛ. ☞ ἐπεὶ παράλληλος ἐστὶν ἡ αϛ τῇ γη, καὶ εἰς αὐτὰς ἐνέπεσεν ἡ αγ, ἴσογώνιον ἄρα ἐστὶ τὸ αϛζ τρίγωνον τῷ γεη τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ αζ πρὸς γη, οὕτως ἡ αε πρὸς εγ. ἀλλ' ὁ αὐτός

ὅσιν λόγος τῆς τε ᾱζ πρὸς Γ̄Η, καὶ ἡ ὑποτεινούσης δυθείας τῷ διπλασίονα ἡ ᾱΒ περιφερείας πρὸς τῷ ὑποτείνουσαν τῷ διπλασίονα ἡ Β̄Γ περιφερείας δυθεῖαν. ἐπειδήπερ ἐὰν ἐκβάλωμεν ἐπὶ τὰς ἀντικειμένας περιφερείας τὰς ᾱζ Γ̄Η ὡς τὰς αζθγῆκ, ἡ μὲν ᾱθ ὑποτείνουσα τῷ διπλασίονα ἡ ᾱΒ περιφερείας, διπλασίων ὅτι τῆς ᾱζ δυθείας, ἡ δὲ Γ̄κ ὁμοίως τῷ διπλασίονα ὑποτείνουσα ἡ Β̄Γ περιφερείας, διπλασίων ὅτι τῆς Γ̄Η, καί εἰσιν ὡς ἡ ᾱθ ὑποτείνουσα τῷ διπλασίονα τῆς ᾱΒ περιφερείας πρὸς τῷ Γ̄Η ὑποτείνουσαν τὴν διπλασίονα ἡ Β̄Γ περιφερείας, οὕτως ἡ ᾱζ πρὸς τὴν Γ̄Η, ἀλλ' ὡς ἡ ᾱζ πρὸς τῷ Γ̄Η, οὕτως ἡ ᾱε πρὸς τῷ Ε̄Γ. ὥστε καὶ ὁ ἡ ᾱε πρὸς τῷ Ε̄Γ λόγος ὁ αὐτός ὅν τῷ ἡ ᾱΒ πρὸς τὴν Γ̄Η, τουτέστι τῷ ἡ τῆς ὑπὸ τῷ διπλῷ ἡ ᾱΒ περιφερείας πρὸς τῷ ὑπὸ τῷ διπλῷ ἡ Β̄Γ. Ἐπιδέχεται δὲ πλείονας ἢ ὧσεις τὸ προκείμενον θεώρημα. ὅταν μὲν γὰρ αἱ ᾱΒ Β̄Γ περιφέρειαι αἴσοι τυγχάνωσιν, ἔτι δὲ καὶ ἑκατέρα αὐτῶν ἐλάσσων ᾖ τεταρτημορίου, ἐφεστᾶσιν ἀνὰ μέσον ἑκάστης αὐτῶν καὶ τοῦ Β̄ σημείου τῶν ὠθ ἡ Β̄δ, ὡς ἔχει ἐν τῇ προκειμένῃ καταγραφῇ. ὅταν δὲ ἴσαι, κατὰ τὸ αὐτὸ σημεῖον ἐφεστᾶσιν ἡ Β̄δ, ἐπ' εὐθείας ἀλλήλαις γινόμεναι, τῶν καθετῶν τότε τῶν ᾱε Ε̄Γ τυγχανουσῶν καὶ τῆς ὑποτεινούσης τὴν διπλασίονα ἑκατέρας τῶν ἴσων περιφερειῶν. ὅταν δὲ ἡ μὲν αὐτῶν ᾖ τεταρτημορίου, ἡ δὲ ἐλάσσων, ἡ μὲν ἐπ' αὐτὸ τὸ Δ̄ μέσον τέμνεται, ἡ δέ, ἐν τῇ Β̄δ. ὅταν δὲ ἑκατέρα αὐτῶν τεταρτημορίου τυγχάνῃ, ἐπ' αὐτὸ τὸ Δ̄ μέσον καὶ ἀμφότεραι ἐφεστᾶσιν αἱ καθετοι, ἐπ' εὐθείας ἀλλήλαις γινόμεναι καὶ διάμετρον τοῦ κύκλου ἀποτελοῦσαι. ὅταν δὲ μείζονος ὧσι τεταρτημορίου, ἐν τῷ Β̄δ προσεκβαλλομένῃ ἐφεστᾶσιν, ἐν ἐναντίῳ τρόπῳ τῷ προκειμένῃ ἀπόδειξιν ποιούσας. παραλλαττέα δὲ τὰς μεταξὺ τῶν εἰρημένων σημείων περιφερείας ἐλαττόνας ἡμικυκλίου, ἐπειδὴ τῶν ὑπὸ τὰς διπλασίονας αὐτῶν δυθειῶν τὸν λόγον ἐπιζητεῖ. καὶ ἐὰν ἑκατέρα αὐτῶν ἡμικυκλίου ᾖ, ἡ διπλασίων ἑκατέρας, ἡ ὅλη περιφέρεια τοῦ κύκλου ὅσιν, ὑφ' ἣν δυθεῖα οὐχ ὑποτείνει. ἔτι δὲ πολλῷ τὸ ἀδιάστατον προχωρεῖ ἐν τῶν μειζόνων ἡμικυκλίων ἀπολαμβανομένων περιφερειῶν, τῶν διπλασιόνων αὐτῶν μειζόνων γινομένων τῆς τοῦ κύκλου περιφερείας.

Τοῦ γοῦν ὅλου πρώτου κυκλικοῦ γραμμικοῦ προληφθέντος, ἔστω ἐφεξῆς καὶ δεύτερον κυκλικὸν γραμμάτιον, οὗ πάλιν ἡ πρότασις διαιρετὴ ἔσται τοιαύτη. ἐὰν κύκλου ἐπὶ περιφερείας ληφθῶσι Γ̄ τυχόντα σημεῖα ἀπολαμβάνοντα μεταξὺ αὐτῶν Β̄ περιφερειῶν ἑκατέραν ἐλάσσονα ἡμικυκλίου, ὥστε τῆς σωαμφοτέραν ἔσην δεδομένην, καὶ ἔτι τὸν λόγον τῶν ὑποτεινουσῶν δυθειῶν τὰς διπλασίονας αὐτῶν, δοθήσεται καὶ ἑκατέρα τῶν ἐξαρχῆς Β̄ περιφερειῶν. κύκλου γὰρ τοῦ αβγ, εἰλήφθω ὡσὶ τῶν περιφερειῶν Γ̄ τυχόντα σημεῖα τὰ α̅ β̅ γ̅, ἀπολαμβάνοντα μεταξὺ αὐτῶν τὰς ᾱΒ Β̄Γ περιφερείας τὸν εἰρημένον τρόπον, ὥστε σωαμφοτέραν τὴν αβγ ἔσην δεδομένην, καὶ ἔτι τὸν λόγον ἡ ὑποτεινούσης δυθείας τῆς διπλασίονα τῆς ᾱΒ περιφερείας, πρὸς τὴν ὑποτείνουσαν δυθεῖαν τῷ διπλασίονα τῆς Β̄Γ περιφερείας, λέγω ὅτι καὶ ἑκατέρα τῶν ᾱΒ Β̄Γ περιφερειῶν, δεδοται. εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ Δ̄, καὶ ἐπιζευχθεῖσαν ὁμοίως τῇ ἐπάνω λημματίῳ, ἡ τε ᾱΓ καὶ δ̄θ, ἔτι ἐπεζεύχθω, καὶ ἀπὸ μὲν τοῦ Δ̄ τῷ δ κέντρῳ ὡσὶ τὸ α̅, ἡ ἠ δ̄α, διάβασις ἡ ἀπὸ τοῦ δ̄ ὡσὶ τῆς ᾱγ ἤχθω ἡ δ̄ζ, ὡς μέζον μὲν ὂν τῆς ᾱΒ περιφερείας ἡ Β̄γ, εἰ γὰρ ἦσαν ἴσαι ἢ διάβασις ὡσὶ τὸ ε̅ ἐπιπέσῃ, εἰ δὲ ἐλάττων ἡ ᾱΒ τῆς Β̄γ, ὡσὶ ἡ ἐγ ἐπιπέσῃ. ἐπεὶ οὖν δέδοται ἡ ᾱγ περιφέρεια, δέδοται καὶ ἡ ὑπὸ αδ̄ζ γωνία ὑπ' αὐτῆς δέδοται. ἐὰν γὰρ προσεκβληθῇ ἡ δ̄ζ, ὡσὶ ἡ διχοτομίας τῆς αβγ περιφερείας πέσεται, δέδοται δὲ καὶ ἡ πρὸς τῷ ζ̄ ὀρθὴ γωνία, καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ α̅ γωνία δοθήσεται. δέδοται δὲ καὶ ἡ δ̄α δυθεῖα ἐκ τοῦ κέντρου, καί ἐσιν ἡ ᾱζ ἡμίσεια ἡ ᾱγ δεδομένης ἐν τῷ ἡ κύκλῳ δυθειῶν, ἐπεὶ καὶ ἡ αβγ περιφέρεια δέδοται. καὶ ἔσι τὸ ἀπὸ τ̄ ᾱδ̄ ἴσον τοῖς ἀπὸ ἡ ᾱζ ζ̄δ̄. ὥστε καὶ ἡ λοιπὴ τ̄ ᾱδ̄ ζ̄ πλευρὰ ἡ δ̄ζ δέδοται. καὶ ὅλον δηλονότι τὸ αδ̄ζ τρίγωνον ἔσι δεδομένον. καὶ ἐπεὶ δέδοται ὁ τ̄ ὑπὸ τῆς διπλῷ ἡ ᾱΒ περιφερείας πρὸς τῆς ὑπὸ τῆς διπλῷ ἡ Β̄γ λόγος δοθείς, ὁ αὐτὸς ὢν τῷ ἡ ᾱε πρὸς Ε̄γ λόγῳ, δῶ τὸ πρὸ τούτου, δέδοται ἄρα καὶ ὁ τῆς ᾱε πρὸς Ε̄γ λόγος. δέδοται δὲ καὶ ὅλη ἡ ᾱγ δυθεῖα. καὶ ἑκατέρα ἄρα τῶν ᾱε Ε̄γ ἐσαι δεδομένη. δείκτης γὰρ ἐν τοῖς δεδομένοις, ὅτι ἐὰν δεδομένον μέγεθος, εἰς δεδομένον λόγον διαιρεθῇ, ἑκάτερον τῶν

τῶν τμημάτων, ἴσαι ἀλλήλοις. ἡ καὶ οὕτως. ἐπεὶ ἀλλοται ὁ τῆς ᾱε πρὸς ᾱγ λόγος, τῷ σιω θήτι ἀλλοται ὁ τῆς ᾱγ πρὸς γ̄ε λόγος, καὶ ἀλλοται ἡ ᾱγ, ἀλλοται ἄρα καὶ ἡ γ̄ε, ἀλλοται ἀλλὰ καὶ ζ̄γ ἡ οὖσα τῆς ᾱγ, καὶ λοιπὴ ἄρα ἡ ζ̄ε ἴσαι ἀλλήλαις, ἀλλοται καὶ ἡ ζ̄δ, καὶ ὀρθὴ ἡ ὑπὸ δ̄ζε, ἀλλοται ἄρα καὶ ἡ δ̄ε. διὰ τοῦτο δὲ καὶ ἡ ὑπὸ εδ̄ζ γωνία ὡς ἑξῆς λέξομεν. ἴση δὲ ἀλλήλαις καὶ ἡ ὑπὸ αδ̄ζ, καὶ ὅλη ἄρα ἡ ὑπὸ αδ̄β γωνία ἴσαι ἀλλήλαις. διὰ δὴ τοῦτο καὶ ἡ ᾱβ περιφέρεια. ἴση δὲ ἀλλήλαις καὶ ὅλη ἡ αβ̄γ περιφέρεια, καὶ λοιπὴ ἄρα ἡ β̄γ περιφέρεια, ἴσαι ἀλλήλαις. ἀκολούθως δὲ καὶ ἐπὶ τῶν ἐπάνω εἰρημένων πτώσεων, λοβήσεται ἑκατέρα τῶν ᾱβ β̄γ περιφερειῶν. λέγεται δὲ ἡ ὑπὸ εδ̄ζ γωνία πεπιγραφομένη πρὸς τὸ ζ̄δ ὀρθογώνιον κύκλου τόμεα τὸν τρόπον. νενοήσθω γὰρ περιγεγραμμένος ὁ κύκλος, φανερὸν δὴ ὅτι ἡ δ̄ε διάμετρος ἴσαι τοῦ κύκλου, διὰ τὸ ὀρθὴν εἶναι τὴν πρὸς ζ̄δ γωνίαν. καὶ ἐπεὶ ἀλλοται ἑκατέρα τῶν δ̄ε ζ̄ε, οἷον ἡ τοῦ αβ̄γ κύκλου διάμετρος ξ̄η, καὶ οἷον ἄρα ἡ δ̄ε διάμετρος τοῦ γεγραμμένου κύκλου ξ̄η, ἀλλοται ἡ η̄ζ. ὥστε καὶ ἡ ἐπ' αὐτῆς περιφέρεια λοβήσεται καὶ ἡ ὑπὸ εδ̄ζ γωνία, ὡς πρὸς τὴν περιφέρειαν οὖσα τοῦ περιγεγραμμένου κύκλου, οἷον ἀεὶ β̄ ὀρθαὶ τ̄ξ, καὶ τῶν ἡμίσεων οἷον ἀεὶ δ̄ ὀρθαὶ τ̄ξ. ὡς πρὸς ζ̄δ ἡμίσειαν τυγχάνειν. διὸ πρὸς μὲν τὴν περιφέρειαν τυγχάνουσῶν τῶν γωνιῶν ὑποτείνειν δύο ὀρθὰς τὸν ὅλον κύκλον, πρὸς δὲ ζ̄δ ἡμίσειαν, καὶ τοῦ ὅλου κύκλου εἰς τ̄ξ μοίρας διαιρουμένου, καὶ ἀπὸ δ̄ ὀρθῆς γωνίας τὰ τμήματα ἐπιζευγνυμένων εὐθειῶν, τὴν μὲν πρὸς τὴν περιφέρειαν ὀρθὴν γωνίαν εἰς ρ̄π διαιρεῖσθαι τὴν δὲ πρὸς τὴν ζ̄δ ἡμίσειαν, εἰς ιη̄. Ἔτι δὲ καὶ τρίτον λημμάτιον ἐντίθηται κυκλικόν, οὗ ἡ πρότασις δείκται ἐν τοιαύτῃ. ἐὰν κύκλου τῆς περιφερείας ληφθῶσι γ̄ σημεῖα, ἀφαιροῦται μὴ μόνον ἑκατέραν ἀλλὰ καὶ σωαμφοτέρας τὰς μεταξὺ δύο περιφερείας ἐλάσσονας ἡμικυκλίου, ὥστε συμπίπτειν τὴν ὑποτείνουσαν εὐθεῖαν ὑπὸ μίαν τῶν εἰρημένων περιφερειῶν τῇ ἀπὸ τοῦ κέντρου τοῦ ἐπικύκλου τῷ λοιπὸν σημεῖον ἐπιζευγνυμένῃ εὐθείᾳ, ἐκτὸς ἁπλοῦν τῆς τοῦ κύκλου περιφερείας, ἴσαι ὡς ἡ ὑποτείνουσα εὐθεῖα τὴν δὲ πλησίον τῆς σωαμφοτέρας περιφερείας πρὸς τὴν ὑποτείνουσαν εὐθεῖαν τῇ διπλασίαν τῆς μιᾶς περιφερείας τῆς πρὸς τῇ ὧδε τὸ κέντρον ἐπιζευχθείσῃ εὐθείᾳ, οὕτως ἡ ὅλη εὐθεῖα συμπίπτουσα τῇ διὰ τοῦ κέντρου πρὸς τὴν ἀπολαμβανομένην αὐτῆς ἐκτὸς τοῦ κύκλου περιφερείας. κύκλου γὰρ τοῦ αβ̄γ, εἰλήφθω ἐν τῇ περιφερείας γ̄ σημεῖα τὰ ᾱ β̄ γ̄, ἀφαιροῦται τὰς ᾱβ β̄γ περιφερείας μεταξὺ αὐτῶν, ὥστε ἐλάττονας εἶναι ἡμικυκλίου σωαμφοτέρας τῆς ᾱγ. καὶ εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ δ̄, καὶ ἐπιζευχθεῖσαι αἱ γ̄β δ̄α, συμπιπτέτωσαν κατὰ τὸ ε̄, λέγω ὅτι ὅση ἐστὶν ἡ ὑπὸ τῆς διπλοῦν ἡ γ̄α περιφέρεια πρὸς τὴν ὑπὸ τὴν διπλοῦν ἡ ᾱβ, ὅτως ἡ γ̄ε εὐθεῖα πρὸς τὴν εβ̄. ἤχθωσαν γὰρ ἀπὸ τῶν γ̄ β̄ σημείων ἐπὶ τὴν δ̄α κάθετοι αἱ γ̄η β̄ζ, ἔσται δὴ ἡ μὲν η̄ζ ἡμίσεια τῆς ᾱγ, ἡ δὲ ζ̄η τῶν ᾱβ β̄γ περιφερειῶν ἡμίσεια. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν δ̄ζ τῇ ζ̄α, ἡ δὲ ζ̄η τῇ ζ̄ε, ἐὰν ἀπὸ μὲν τῆς δ̄ζ ἀφέλω τὴν ζ̄η, ἀπὸ δὲ τῆς ζ̄α τὴν ζ̄ε, ἴση ἔσται καὶ ἡ λοιπὴ ἡ η̄δ τῇ λοιπῇ τῇ εᾱ. ἔστιν ἄρα ὡς ἡ γ̄η πρὸς τὴν η̄δ, οὕτως ἡ β̄ζ πρὸς τὴν εᾱ. ἀλλ' ὡς μὲν ἡ γ̄η πρὸς τὴν η̄δ, οὕτως ἐστὶν ἡ γ̄ε πρὸς τὴν εβ̄, ὡς δὲ ἡ β̄ζ πρὸς τὴν εᾱ, οὕτως ἐστὶν ἡ γ̄ε πρὸς τὴν εβ̄, ἀλλ' ὡς ἡ γ̄ε πρὸς τὴν εβ̄, οὕτως ἐστὶν ἡ γ̄α περιφέρεια πρὸς τὴν διπλοῦν ἡ ᾱβ περιφέρειαν, ὅτως ἡ γ̄ε εὐθεῖα πρὸς τὴν εβ̄. λέγω ὅτι καὶ τὰ ἑτέρα μέρη ἡ σύμπτωσις γένηται, τὸ ὅμοιον συμβήσεται, τῶν περιφερειῶν αὖ πάλιν λαμβανομένων. συμπιπτέτωσαν γὰρ αἱ β̄γ ᾱδ κατὰ τὸ κ̄, λέγω ὅτι ἔστιν ὡς ἡ ὑπὸ τὴν διπλοῦν ἡ β̄γ πρὸς τὴν ὑπὸ τὴν διπλοῦν ἡ γ̄α, οὕτως ἡ β̄κ πρὸς τὴν κ̄γ. ἤχθωσαν γὰρ πάλιν ἀπὸ τῶν γ̄ β̄ ἐπὶ τὴν δ̄α κάθετοι αἱ β̄ζ γ̄η. ἔστιν ἄρα πάλιν διὰ τὰ προφημένα ὡς ἡ μὲν β̄ζ πρὸς γ̄η, ὅτως ἡ β̄κ πρὸς κ̄γ, ὡς δὲ ἡ β̄ζ πρὸς γ̄η, ὅτως ἡ ὑπὸ τὴν διπλοῦν ἡ β̄α πρὸς τὴν ὑπὸ τὴν διπλοῦν ἡ ᾱγ. ἡμίσεια γὰρ ἑκατέρα ἑκατέρας. καὶ ὡς ἄρα ἡ ὑπὸ τὴν διπλοῦν τὴν β̄α πρὸς τὴν διπλοῦν ἡ ᾱγ, ὅτως ἡ β̄κ πρὸς κ̄γ. δῆλον δὴ ὅτι ἐφ' ὧν καταγραφῶν σωαμφοτέρα ἡ αβ̄γ τεταρτημορίου τυγχάνει, ἡ ἀπὸ τ̄ γ̄ ὡς τὸ ᾱ δ̄ καθέτου ἐπὶ τὸ δ̄ κέντρον, συμπεσοῦνται αἱ δ̄α β̄γ, ἐλάττονων δύο ὀρθῶν γινομένων τ̄ πρὸς ταῖς δ̄ γ̄ γωνίαις, ὡς ὑπὸ τὴν ὑποκειμένης καταγραφῆς. πολλῷ δὴ μᾶλλον ἐὰν ἐλάττονων τεταρτημορίου τυγχάνῃ ἡ ᾱγ, συμπεσοῦνται





ἀι δ α β΄ ὀυθεῖαι. ὁμοίως δὴ κἂν μείζων τεταρτημορίς τυγχάνῃ ἡ α γ, ἀι δύο πρὸς ταῖς γ δ γωνίαι
δύο ὀρθῶν ἐλάττονες τυγχάνωσι, συμπεσοῦνται, καὶ συναθήσονται τὸ πρόβλημα. ἐφ' ὧν δὲ μείζο-
νες εἰσὶ δύο ὀρθῶν, οὐκ ἀναγκαῖον συμπεσοῦνται, ἢ ὁ ἀνάπαλιν λόγος συναθήσονται. ἐφ'
ὧν δὲ ἐκβαλλομένη ἡ α δ ὡς οὐκ ἐπὶ τὸ θ, ἴσην ποιεῖ τῇ α β τῇ γ θ, παραλλήλους γινομένης τῆς β γ ὀυ-
θείας τῇ α θ, ἀσύναρτον ἔσται τὸ θεώρημα. καὶ ἔτι ἐφ' ὧν αἱ α β β γ συναμφότεραι, μείζονες γί
νονται ἡμικυκλίου, γνώσονται δὲ συμπεσοῦνται αἱ ὀυθεῖαι. καὶ ἔτι πάλιν ἐφ' ὧν ἡμικύκλιοι τυγχά
νωσιν. οὐκ ἀναγκαῖον τοῦ αὐτοῦ σημείου ἡ περιφερείας συμπεσοῦνται αἱ ὀυθεῖαι ὡς ἐπὶ τῶν ὑποκει
μένων πάλιν καταγραφῶν.



διὸ δείξομεν οὐκ ἐπὶ τῶν κατὰ μέρος δείξεων, ὅτι οὐ προσχρῆνται ταῖς ὅτως ἀσύναρτον ποιούσαις τὸ πρόβλημα, ἀλλὰ ταῖς ἐκτὸς συμπιπτούσαις. ἔτι δὲ ἐξῆς καὶ ὁ λημματίου κυκλικοῦ ὁμοίως ἐκτίθεται, οὗ ἡ πρότασις δύναται οὕτω ποιαύτη. ἐὰν κύ-
κλου οὐκ ἡ περιφερείας ληφθῶσι γ σημεῖα, ἀφαιροῦνται δύο περιφερείας τὰς μεταξὺ αὐτῶν,
ὥστε συναμφοτέραν ἐλάσσονα εἶναι ἡμικυκλίου, καὶ τοῦ οὐκ ἐπὶ τὰ ἐξῆς β σημεῖα ἐπιζευγνυμένην
ὀυθεῖαν συμπίπτειν τῇ ἀπὸ τοῦ κέντρου τοῦ κύκλου, οὐκ ἐπὶ τὸ λοιπὸν σημεῖον ἐπιζευγνυμένῃ
εὐθείᾳ ἐκτὸς εἶναι τοῦ κύκλου περιφερείας, καὶ πάλιν ἡ οὐκ ἐπὶ τὰς ἐπιζευχθείσας ἀπὸ τὰ ἐξῆς β σημεῖα εὐθείας περιφέρεια, καὶ ἔτι ὁ λόγος ὁ τῆς ὑπὸ τοῦ μείζονος τῶν περιφερειῶν τῆς ὑπὸ τοῦ λοιποῦ τῶν λοιπῶν, καὶ αὐτὴ ἡ λοιπὴ περιφέρεια δοθήσεται. κύκλου γὰρ τοῦ α β γ οὐκ ἐπὶ τὰς περιφερείας εἰλήφθω γ σημεῖα τὰ α β γ, ἀφαιροῦνται συναμφοτέρας τὰς α β β γ ἐλάττονας ἡμικυκλίου, ὥστε τοῦ β γ εἶναι μείζονα. καὶ ἔτι τὸν λόγον τῆς ὑπὸ τῆς διπλοῦ τῆς γα περιφερείας πρὸς τοῦ ὑπὸ τοῦ διπλοῦ τῆς α β, λέγω ὅτι καὶ αὐτὴ ἡ α β δέδοται. εἰλήφθω γὰρ τὸ κέντρον τοῦ κύκλου τὸ δ, καὶ ἐπιζευχθεῖσαι αἱ α δ γ β, ἐκβεβλήσθωσαν, καὶ συμπιπτέτωσαν κατὰ τὸ ε, καὶ ἀπὸ τοῦ δ οὐκ τοῦ γ β ὀυθεῖαν καθήκτω ἡ δ ζ, καὶ ἐπεζεύχθω ἡ δ β. ἐπεὶ οὖν ἡ β γ περιφέρεια δέδοται, καὶ ἡ ὑπὸ β δ ζ γωνία τοῦ ς αὐτῆς ὑποτείνουσα δεδομένη ἐστίν. δέδοται δὲ καὶ ἡ β γ ὀυθεῖα ἐκτὸς τῷ γ κύκλῳ ὀυθεῖαν, καὶ ἔχα αὐτοῦ τέμνει ἡ δ ζ, καὶ ἡ ς ἀφὴ αὐτῆς ἡ β ζ δέδοται. δέδοται δὲ καὶ ἡ ἐκ τοῦ κέντρου ἡ δ β. καὶ ἐστι τὸ ἀπὸ τῆς δ β, ἴσον τοῖς ἀπὸ β ζ ζ δ, δέδοται ἄρα καὶ ἡ ζ δ, καὶ ὅλον τὸ ζ δ β τρίγωνον ὀρθογώνιον. καὶ ἐπεὶ ὁ τῆς γ ε ὀυθείας πρὸς ε β λόγος δέδοται, ὁ αὐτὸς ὢν ὅν ἐστι τῆς ὑπὸ τοῦ διπλοῦ τῆς γα περιφερείας πρὸς τοῦ ὑπὸ τοῦ διπλοῦ τῆς α β δεδομένης, δέδοται ἄρα καὶ ὁ τῆς ε γ πρὸς γ β λόγος. ἐὰν γὰρ μέγεθος πρὸς ἑαυτοῦ τι μέρος λόγον ἔχῃ δεδομένον, καὶ πρὸς τὸ λοιπόν, λόγον ἔξει δεδομένον. καὶ δέδοται τὸ γ β, δέδοται ἄρα καὶ ἡ ε γ. ὥστε καὶ λοιπὴ ἡ β ε ἔσται δεδομένη. ἢ καὶ οὕτως. ἐπεὶ ὁ τῆς ε γ πρὸς ε β λόγος δέδοται, καὶ δέδοται ἡ γ β, δέδοται ἄρα καὶ ἡ β ε. δέδοται δὲ καὶ ἡ β ζ, καὶ ὅλη ἄρα ἡ ε ζ ἔσται δεδομένη. ἀλλὰ καὶ ἡ ζ δ δέδοται, καὶ ἔσται τὰ ἀπὸ τῶν ε ζ ζ δ, ἴσα τῷ ἀπὸ τῆς ε δ, δέδοται ἄρα καὶ ἡ ε δ. ὥστε καὶ τὸ ε ζ δ τρίγωνον ὀρθογώνιον ἔσται δεδομένον, καὶ ἡ ὑπὸ ζ δ ε γωνία ὁμοίως, πρὸς τὸ ζ δ ε τρίγωνον ὀρθογώνιον γραφομένου κύκλου. ἐδέδοτο δὲ καὶ ἡ ὑπὸ ζ δ β γωνία, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ β δ α γωνία πρὸς τῷ κέντρῳ ἔσται δεδομένη. ὥστε κἂν ἡ α β περιφέρεια. Τούτων οὖν τῶν δύο ὑποκειμένων κύκλων περιφερειῶν τεσσάρων κύκλικῶν λημματίων προληφθέντων, ἐξῆς ἐκτίθεται σφαιρικὸν θεώρημα, ἐν ᾧ δύο προτάσεων ἀποδείξιν ποιεῖται, μιᾶς μὲν κατ' διαίρεσιν, ἑτέρας δὲ κατὰ σύνθεσιν. καὶ πρώτου τῆς κατ' διαίρεσιν, ἥτις δύναται οὕτω ποιαύτη. ἐὰν ὦσι σφαιρικῆς ἐπιφανείας γραφῶσι δύο μεγίσων κύκλων περιφέρειαι, τέμνουσαι ἀλλήλας, καὶ ἀπ' ἀμφοτέρων αὐτῶν ἀπὸ ληφθῶσι ἀφ' ἑκατέρας ἐλάσσονες ἡμικυκλίου, καὶ διὰ τῶν γενομένων σημείων γραφῶσι μεταξὺ τῶν δύο μεγίσων κύκλων περιφέρειαι ἐλάττονες πάλιν ἡμικυκλίου, τέμνουσαι ἀλλήλας, καὶ τὰς ἀπολαμβανομένας περιφερείας, ὁ μὲν ὑπὸ τῆς διπλοῦ τῆς ἑνὸς τμήματος τῆς ἀπὸ τῆς πείρατος τῆς ἀπολαμβανομένων πρὸς τοῦ ὑπὸ τῆς διπλοῦ τῆς λοιπῆς αὐτῆς τμήματος λόγος, συνῆπται ἔκ τε τοῦ λόγου τοῦ ὑπὸ τὰς διπλασίονας τῶν τμημάτων μὲν γραφείσης ἀπὸ τοῦ πείρατος τῆς εἰρημένης μιᾶς τῆς ἀρχῆς ἀπολαμβανομένων, ἡγεμονίας λαμβανομένης μὲν ὑπὸ τῆς διπλοῦ τῆς ἀπὸ τοιούτου πείρατος τμήματος. καὶ

ἔτι

ἔστι τοῦ λόγου τῆς ὑπὸ τὴν διπλῆν τοῦ τμήματος τῆς λοιπῆς τῶν ἀπὸ ἀρχῆς ἀπολαμβανομένων πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ὅλης. γεγράφθωσαν γὰρ διὰ σφαιρικῆς ἐπιφανείας μεγίστων κύκλων περιφέρειαι, ὥστε εἰς δύο τὰς ΑΒ ΑΓ δύο γραφείσης τὰς ΒΕ ΕΔ τέμνειν ἀλλήλας κατὰ τὸ Ζ σημεῖον. ἔστω δὲ ἑκάστη αὐτῶν ἐλάσσων ἡμικυκλίου, τὸ δ' αὐτὸ καὶ διὰ τῶν ὁμοίων πασῶν καταγραφῶν ὑπακουέσθω, λέγω ὅτι, ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΕ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΑ λόγος, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΖ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΖΔ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΔΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΑ. εἰλήφθω γὰρ τὸ κέντρον τῆς σφαίρας τὸ Η. τὸ αὐτὸ ἄρα ἔσται καὶ τῶν κύκλων. μέγιστοι γὰρ ὑπόκεινται. καὶ ἀπ' αὐτοῦ ἐπεζεύχθωσαν αἱ τὰς ΒΕ τομὰς τῶν κύκλων, ἥτε ΗΒ καὶ ἡ ΗΖ καὶ ἡ ΗΕ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΔ ἐκβεβλήσθω, καὶ συμπιπτέτω τῇ ΗΒ ἐκβληθείσῃ κατὰ αὐτῆς τὸ Θ σημεῖον. ὁμοίως δὲ ἐπιζευχθεῖσαι αἱ ΔΓ καὶ ΑΓ τεμνέτωσαν τὰς ΗΖ κατὰ Κ καὶ Λ σημεῖα, ἀλλὰ τὸ μὲν ΔΓΑ ἔσται ἐπίπεδον τοῦ τε ΑΓΔ τριγώνου καὶ τοῦ ΒΕ κύκλου, ὡς ἐξῆς δείξομεν, ἥτις ἐπιζευχθεῖσα ποιεῖ τὸν ὑπὸ τῶν πρώτων δύο εὐθυγράμμων λημματίων ἀπόλειξιν τε καὶ καταγραφήν, τουτέστιν εἰς Β εὐθείας τὰς ΘΑ καὶ ΑΓ, δύο διαχθείσας τὰς ΘΛ ΕΔ, τεμνούσας ἀλλήλας κατὰ τὸ Κ, καὶ διηλαδὴ τὸν τῆς ΓΛ εὐθείας πρὸς τὴν ΛΑ λόγον συνῆφθαι ἔκ τε τοῦ ΓΚ πρὸς ΚΔ, καὶ τοῦ τῆς ΔΘ πρὸς ΘΑ. ἀλλ' ὡς μὲν ἡ ΓΛ πρὸς ΛΑ, οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς ΓΕ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΕΑ, διὰ τὸ πρῶτον κυκλικὸν λημμάτιον. ὡς δὲ τὸ ΑΓΚ κύκλου περιφερείας εἰλῆφθαι Γ τυχόντα σημεῖα, τὰ Α Ε Γ, ἀπολαμβάνοντα περιφερείας, ἐλάττονας ἡμικυκλίου, καὶ ἀπὸ τοῦ κέντρου αὐτοῦ τοῦ Η ἐπὶ μὲν τὸ μέσον σημεῖον τὸ Ε, ἐπέζευκται ἡ ΗΕ, καὶ ἔτι ἐπὶ τὰ λοιπὰ δύο σημεῖα, ἡ ΑΓ. καὶ διηλον ὡς ὅτι ἐὰν ἀπὸ τῶν Α, Γ σημείων ἐπὶ τὸν ΒΕ κύκλον ἀγάγωμεν, ἡ αὐτὴ ἔσται καταγραφὴ ὡς ἔφαμεν τῆς τοῦ πρώτου κυκλικοῦ λημματίου. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΚΓ πρὸς ΚΔ, οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς ΓΖ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΖΔ. ὡς δὲ ἡ ΔΘ πρὸς ΘΑ, οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς ΔΒ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΑ, διὰ τὸ ἀνάπαλιν λῆμμα τοῦ Γ κυκλικοῦ λημματίου. καὶ ὁ λόγος ἄρα ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΕ περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν



τῆς ΕΑ, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΓΖ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΖΔ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ΔΒ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ΒΑ.

Ὅτι δὲ αἱ τὰ Θ Κ σημεῖα χωρὶς εἰσὶν ἐπιπέδοις τῷ τε τοῦ ΑΔΓ τριγώνου καὶ τῷ ΒΕ κύκλου, δείξομεν οὕτως. ἐπεὶ γὰρ τὰ Μ Κ Λ ἐστὶ τοῦ ΓΑ ΓΔ πλευρῶν εἰσὶ τοῦ ΑΔΓ τριγώνου, τὸ δὲ Ε ἐστὶ τῆς ΑΔ προσεκβληθείσης, τὰ ἄρα Θ Κ Λ, σημεῖα χωρὶς ἐστὶ τοῦ ΑΔΓ τριγώνου εἰσὶν ἐπιπέδου. πάλιν ἐπεὶ τὸ Η κέντρον ἐστὶ τοῦ ΒΕ κύκλου, καὶ ἐκ τοῦ κέντρου αὐτοῦ αἱ ΗΒ ΗΕ ΗΖ ΗΒ, χωρὶς ἐστὶ τοῦ κύκλου εἰσὶν αὗται ἐπιπέδου, ἡ ἐστι τὸ Μ Θ ἐστὶ τοῦ ΗΒ ἐκβληθείσης. τὸ δὲ Κ ἐστὶ τοῦ ΗΖ, τὸ δὲ Λ ἐστὶ τῆς ΗΕ, ὥστε τὰ Θ Κ Λ, σημεῖα χωρὶς ἐστὶ τοῦ τε ΑΔΓ τριγώνου καὶ τοῦ ΒΕ κύκλου εἰσὶν ἐπιπέδου. καὶ ἔστι τὸ μὲν Μ Θ ἐστὶ τοῦ ΗΒ ἐκβληθείσης, τὸ δὲ Κ ἐστὶ τοῦ ΗΖ, τὸ δὲ Λ ἐστὶ τῆς ΗΕ. ὥστε τὰ Θ Κ Λ σημεῖα χωρὶς ἐστὶ τοῦ ΒΕΖ κύκλου εἰσὶν ἐπιπέδου. ἐλέγχθησαν δὲ καὶ χωρὶς ἐστὶ τοῦ ΑΔΓ τριγώνου ἐπιπέδου. ἡ ἄρα κοινὴ τομὴ τῶν ἐπιπέδων ἐστὶ τὸ Θ Κ Λ. ἐπ' εὐθείας ἄρα εἰσίν.



Ἀλλὰ δὴ καὶ ἡ ἀφ' ἑκατέρας περιφερείας ἐλάσσονος ἡμικυκλίου, καὶ διὰ τῶν γινομένων σημείων γραφῶσι πάλιν μεταξὺ αὐτῶν ἀπολαμβανόμεναι μεγίστων κύκλων περιφέρειαι ἐλάττονος ἡμικυκλίου, τέμνουσαι ἀλλήλας, καὶ τὰς ἀρχῆς ἀπολειφθείσας περιφερείας, ὁ ἡ ὑπὸ τὴν διπλῆν τῆς μιᾶς τῶν ἀρχῆς ἀπολειφθεισῶν πρὸς τὴν ὑπὸ τὴν διπλῆν τοῦ τμήματος αὐτῆς τῶν

πρὸς τὴν λοιπὴν τομὴν τῶν ἑξαρχῆς περιφερειῶν λόγος, σύγκειται ἔκ τε τοῦ ὃν ὑπὸ τὴν λα πλῆν τῆς γραφείσης ἀπὸ τοῦ πείρατος τῆς ἐρημίας μιᾶς τῶν ἑξαρχῆς περιφερειῶν, πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τοῦ τμήματος αὐτῆς τοῦ πρὸς τῇ λοιπῇ τῶν ἑξαρχῆς περιφερειῶν, καὶ τοῦ τῆς ὑπὸ τὴν λιπλῆν τοῦ τμήματος τῆς λοιπῆς τῶν γραφεισῶν τοῦ πρὸς ὀρθὰς πείρατι τῆς λοιπῆς τῶν ἑξαρχῆς, πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τῆς ὅλης λοιπῆς τῶν γραφεισῶν, τουτέστιν ὡς ἡ αὐτῆς καταγραφῆς, λέγω ὅτι ὁ τῆς ὑπὸ τὴν λιπλῆν τῆς γα περιφερείας πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τῆς αε λόγος, σύγκειται ἔκ τε τοῦ ὃν ὑπὸ τὴν λιπλῆν τῆς γδ πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τῆς δζ, καὶ τοῦ τῆς ὑπὸ τὴν λιπλῆν τῆς ζβ, πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τῆς βε. ἐπιζευχθεῖσαι γὰρ αι γε ηα, ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ κ, καὶ ἔτι αι ζη βθ ἐπιζευχθεῖσαι συμπιπτέτωσαν κατὰ τὸ μ, καὶ ὁμοίως πάλιν αι γζ ηλ ἐπιζευχθεῖσαι, συμπιπτέτωσαν κατὰ τὸ λ. ἐπεὶ οὖν τὰ κ λ μ σημεῖα ἐπί τε τῆς γζ τριγώνου εἰσὶν ἐπιπέδου (ἐπὶ γὰρ τῶν πλευρῶν εἰσὶ) εἰσὶ δὲ καὶ ἐπί τε τῆς αδβ κύκλου ἐπιπέδου (ἐπὶ γὰρ τῶν ἐκ τοῦ κέντρου αὐτοῦ προσεκβληθεισῶν εἰσίν) ὡς ἐπὶ τῆς τομῆς εἰσὶ τῶν ἐρημιῶν ἐπιπέδων. ἐπ' εὐθείας ἄρα εἰσὶ τὰ κ λ μ σημεῖα. διὰ τοῦτο ἐπιζευχθεῖσα ἡ κλμ εὐθεῖα, γίνονται εἰς δύο τὰς γκ κμ δύο διημμένας αι γλ με, τέμνουσαι ἀλλήλας κατὰ τὸ ζ. καὶ ὡς ἐπὶ τοῦ πρώτου θεωρήματος κατὰ σωίθεσιν. ὁ τῆς γκ εὐθείας πρὸς τὴν κε λόγος σύγκειται ἔκ τε τοῦ τῆς γλ πρὸς λζ, καὶ τοῦ τῆς ζμ πρὸς με, ἀλλ' ὁ τῆς γκ πρὸς κε λόγος ἐστὶ τοῦ γ πρὸς λυκλικὸν ἡμιμόριον, ὁ αὐτός ἐστι τῆς ὑπὸ τὴν λιπλῆν τῆς γα πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τῆς αε, ὁ δὲ τῆς γλ πρὸς λζ, ἐστὶ τὰ αὐτά, ὁ αὐτός ἐστι τῆς ὑπὸ τὴν λιπλῆν τῆς γδ περιφερείας πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τῆς δζ, ὁ δὲ τῆς ζμ πρὸς με ὁμοίως ὁ αὐτός ἐστι τῆς ὑπὸ τὴν λιπλῆν τῆς ζβ πρὸς τὴν ὑπὸ τὴν λιπλῆν τῆς βε.



δῆλον δ' ὡς ὅτι καὶ ὅσαι τῶν εἰς τὰ χωρία θεωρήματα ληφθέντων ἡμιμορίων εἰσὶ πτώσεις, τοσαῦται καὶ αὐτῶν τῶν θεωρημάτων. καὶ φανερὸν καὶ ἐπὶ τούτων τῶν δύο σφαιρικῶν λέξεων, ὅτι ἀφ' οὗ ἂν ἄρχηται ὁ σωτιθεμένου τῶν λόγων, ἀπὸ τούτου καὶ ὁ πρῶτος τῶν σωτιθέντων, καὶ εἰς ὃ οὗτος λήγει, ἀπὸ τούτου ἄρχεται ὁ λυτέρου τῶν σωτιθέντων, καὶ λήγει ἔνθα καὶ ὁ σωτιθεμένου ἔληγε. Πλειόνων οὖν πτώσεων ἐπὶ τοῦ θεωρήματος ὡς ἔφαμεν τυγχανουσῶν, μίαν ἢ δύο ἐκθησόμεθα, δι' ὧν καὶ αἱ λοιπαὶ δῆλαι τανῦν γενήσονται. ἐκκείσθω γὰρ ἡ ὁμοία τῇ ἐπὶ τῶν περιφερειῶν καταγραφῇ, καὶ ἡ μὲν γε συμπιπτέτω ὡσαύτως τῇ ηα κατὰ τὸ κ, ἡ δὲ ζε τῇ βη ἐπὶ τὰ αὐτικείμενα τῆς ἐπάνω καταγραφῆς κατὰ τὸ λ, ἡ δὲ ζη τῇ δη ὁμοίως ἐπὶ τὰ αὐτικείμενα κατὰ τὸ μ. ἐπ' εὐθείας ἄρα εἰσὶ τὰ κ λ μ σημεῖα, διὰ δὴ καὶ πάλιν ἔστι τὸ ζ τριγώνου ἐπιπέδου αὐτὰ τυγχάνειν.

χάνειν. ἐπεὶ δὲ πᾶσ καὶ ὧν τῶν πλευρῶν αὐτοῦ ἐκβληθεισῶν τυγχάνουσι, καὶ ἐν τῷ τοῦ αδ̄ β κύκλου ἐπιπέδῳ. ἐπεὶ δὲ πᾶσ πάλιν ὧν τῶν ἐκ τοῦ κέντρου ἐκβληθεισῶν εἰσίν, ἥτις ἐπιζευχθεῖσα ποιεῖ εἰς δύο τὰς μ̄κ μ̄ζ δύο διαχθείσας τὰς γ̄κ λ̄ζ τέμνειν ἀλλήλας κατὰ τὸ ε̄. καὶ διαθάπερ ἐπάνω ὧν τῆς τῶν ὑθειῶν καταγραφῆς ἐδείκνυμεν, ὡς ὁ τῆς γ̄κ πρὸς κε λόγος σύγκειται ἔκ τε τοῦ τῆς γ̄μ πρὸς μ̄ζ, καὶ τοῦ τῆς ζ̄α πρὸς λε. ἀλλὰ τοῦ μὲν τῆς γ̄κ πρὸς κε λόγῳ ὁ αὐτός ἐστιν ὁ τῆς ὑπὸ τὼ διπλῶ τῆς γ̄α περιφερείας πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς ᾱε, τοῦ δὲ τῆς γ̄μ πρὸς μ̄ζ, ὁ αὐτός ἐστιν ἀνάπαλιν τῇ ὧν τῶν περιφερειῶν εἰρημένῃ ὧν τῇ τοῦ γ̄ κυκλικοῦ μήματος πρώσει, ὁ τῆς ὑπὸ τὼ διπλῶ τῆς γ̄δ̄ περιφερείας πρὸς τὼ διπλῶ τῆς δ̄ζ, τοῦ δὲ τῆς ζ̄λ πρὸς τὼ λε, ὁ αὐτός ἐστιν ὁμοίως ὁ τῆς ὑπὸ τὼ διπλῶ τῆς ζ̄β πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς β̄ε. καὶ οὕτως ἄρα ὁ τῆς ὑπὸ τὼ διπλῶ τῆς ᾱε λόγος σωνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τῆ διπλῶ τῆς γ̄δ̄ πρὸς τῆ ὑπὸ τὼ διπλῶ τῆς δ̄ζ, καὶ τοῦ τῆς ὑπὸ τὼ διπλῶ τῆς ζ̄β, πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς β̄ε. Ἐξῆς δὲ καὶ ὧν ἑτέρας πτώσεως τὼ αὐτῶ λεῖξιν ποιησώμεθα. συμπιπτέτω γὰρ πάλιν, ἡ μὲν γ̄ε τῇ ᾱγ κατὰ τὸ κ̄, ἡ δὲ ζ̄ τῇ γ̄δ̄ κατὰ τὸ μ̄, ἡ δὲ γ̄η τῇ ε̄ζ κατὰ τὸ λ̄, ὡς ἔχει ὧν τῆς ἑξῆς καταγραφῆς, καὶ φανερὸν πάλιν ὅτι ἐπ' ὑθείας εἰσὶ τὰ κ̄ μ̄ λ̄ σημεῖα, διὰ τὸ ὁμοίως ἂν τε τοῦ δ̄ζ τριγώνου ἐπιπέδῳ, καὶ ἐν τοῦ αδ̄ β κύκλῳ, ἥτις πάλιν ἐπιζευχθεῖσα ποιεῖ εἰς δύο τὰς λ̄κ γ̄κ διαχθείσας τὰς γ̄μ λε, τέμνειν ἀλλήλας κατὰ τὸ ζ̄, καὶ διὰτοῦτο ὡς ἐμπροσθεν ἐδείξαμεν, ὁ τῆ γ̄κ ὑθείας πρὸς κε λόγος σύγκειται ἔκ τε τοῦ τῆς γ̄μ πρὸς μ̄ζ, καὶ τοῦ τῆς ζ̄λ πρὸς λε. ἀλλὰ τοῦ μὲν τῆς γ̄κ πρὸς κε λόγῳ, ὁ αὐτός ἐστιν ὁ τῆς ὑπὸ τῆ διπλῶ τῆς γ̄α περιφερείας πρὸς τὼ ὑπὸ τῆ διπλῶ τῆς ᾱε, τοῦ δὲ τῆ γ̄μ ὑθείας πρὸς μ̄ζ, ὁ αὐτός ἐστιν ὁ τῆς ὑπὸ τὼ διπλῶ τῆς γ̄δ̄ περιφερείας πρὸς τὼ διπλῶ τῆς δ̄ζ, τῷ δὲ τῆ ζ̄λ ὑθείας πρὸς τὼ λε, ὁ αὐτός ἐστιν ὁ τῆς ὑπὸ τὼ διπλῶ τῆς ζ̄β περιφερείας πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς β̄ε. ὁ ἄρα τῆ ὑπὸ τὼ διπλῶ τῆς γ̄α περιφερείας πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς ᾱε λόγος, σωνῆπται ἔκ τε τοῦ τῆ ὑπὸ τῆ διπλῶ τῆς γ̄δ̄ πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς δ̄ζ, καὶ τοῦ τῆς ὑπὸ τὼ διπλῶ τῆς ζ̄β πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς β̄ε. ὁμοίως δὲ καὶ ὧν τῶν λοιπῶν πτώσεων ὁ αὐτὸς λόγος διαχθήσεται ἐπ' ὑθειῶν τυγχανόντων τῶν κ̄ λ̄ μ̄, σημείων. Ἔστι δὲ καὶ αὖθις τῆ ὧν τῶν ὑθειῶν ἐπιπέδου διαγραφῆς, ἐν ᾗ καὶ διαιρέσιν λέξεως προχειρότερον ἐπιλογίσασθαι τὼ ᾗ συνθέσιν τῶν περιφερειῶν ἀποδείξιν, προληφθέντος ἡμῖν βραχέως τοιούτου λημματίου. ἔστω ἡμικύκλιον τὸ αβγ ὧν διαμέτρου τῆ ᾱγ, καὶ εἰλήφθω ὧν τῆς περιφερείας αὐτοῦ τυχὸν σημεῖον τὸ β, λέγω ὅτι ἡ ὑποτείνουσα τὼ διπλῶ τῆ ᾱβ περιφερείας, ὑποτείνει καὶ τὼ διπλῶ τῆς β̄γ. καὶ ἔστιν αὐτόθεν φανερόν. ἐὰν γὰρ ἀναπληρώσαντες τὸν κύκλον ἐκβάντες τὸ β̄ ἀγαγόντες ὧν τῆ ᾱγ προσεκβάλωμεν ὧν τὸ ε̄, ἡ βε ὑθεῖα ὑποτείνουσα τῆ βᾱε διπλῶ οὖσαν τῆ β̄α, ὑποτείνει καὶ τὼ βγ̄ε, διπλῶ οὖσαν τῆ β̄γ. Τούτου προληφθέντος, ἐκκείσθω ἡ αὐτὴ τῶν περιφερειῶν καταγραφή, καὶ συμπεπληρώσθω τὰ γᾱγ, γδ̄γ ἡμικύκλια. ἐπεὶ οὖν εἰς β̄ τὰς ε̄γ ε̄β περιφερείας δύο διήγμηναι εἰσὶν αἱ ηδ̄ζ βδ̄α, τέμνουσαι ἀλλήλας κατὰ τὸ δ̄, ὁ τῆς ὑπὸ τὼ διπλῶ τῆς γ̄α πρὸς τῆ ὑπὸ τῆ διπλῶ τῆς ᾱε λόγος, σωνῆπται ἔκ τε τοῦ τῆ ὑπὸ τῆ διπλῶ τῆς γ̄δ̄ πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς δ̄ζ, καὶ τοῦ τῆς ὑπὸ τὼ διπλῶ τῆς ζ̄β πρὸς τὼ ὑπὸ τὼ διπλῶ τῆς β̄ε. ἔδειχθη γὰρ καὶ τοῦτο. ἀλλ' ἡ μὲν ὑποτείνουσα τὼ διπλῶ τῆς γ̄α, ὑποτείνει καὶ τὼ διπλῶ τῆς ᾱγ λοιπῶ οὖσαν εἰς τὸν ὅλον κύκλον, ἡ δὲ ὑποτείνουσα τὼ διπλῶ τῆς β̄γ,





ὑποτέινει καὶ τὴν διπλῆν τῆς Γ Δ. ὥστε καὶ ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς Γ α πρὸς τὴν ὑπὸ τῆ διπλῆν τῆς ᾱε λόγος συνῆπται ἔκτε τοῦ τῆς ὑπὸ τῆ διπλῆν τῆς Γ Δ, πρὸς τὴν ὑπὸ τῆ διπλῆν τῆς Δ Ζ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς Ζ Β πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς Βε.

Ὅτι δὲ ὡς ἔφαμεν ἀπὸ πλειόνων πῆ ώσεων καὶ ὧν τῆς τοιαύτης καταγραφῆς ὀλίγας ἐκθησόμεθα καὶ τὰς λοιπὰς δυνατανοήτους ἡμῖν ποιεῖν δυνάμεις, ἔτι δεόμενοι πάλιν ἐκ



